39. POLLUX, VI 46 κέρασον τὸ δένδρον ἐν τῶι Περὶ φύσεως Ξενοφάνους εὑρών.

40. ETYM. GEN. s.v. βρόταχον τὸν βάτραχον Ἴωνες [καὶ Ἀριστοφάνης φησὶ] καὶ παρὰ Ξενοφάνει.

41. TZETZ. ad Dion. Perieg. v. 940 p. 1010 Bernhardy περὶ τῶν εἰς ρος κανών (în legătură cu σιρός)
σιλλογράφος δέ τις τὸ σι μακρὸν γράφει
τῶι ῥῶ, δοκεῖ μοι, τοῦτο μηκύνας τάχα.
σιλλογράφος νῦν ὁ Ξενοφάνης ἐστὶ καὶ ὁ Τίμων καὶ ἕτεροι.

42. HERODIAN. περὶ μον. λέξεως 7, 11 καὶ παρὰ Ξενοφάνει ἐν δωι Σίλλων·

de s-arîntâmpla cuiva – mai bine decât oricui – să spună un lucru cu noimă[33], încă, de știut nu l-ar ști: căci tuturor le e dată părerea...[34].

35. PLUT., *Sympos.*, IX 7, p. 746 B
Socoată-se acestea asemenea adevărului...

36. HERODIAN., περὶ διχρ., 296, 9
Câte le-a fost dat muritorilor să privească...

37. — — 30, 30
Și în anumite peșteri picură apa[35]...

38. — — p. 41, 5
Dacă divinitatea n-ar fi făcut galbena miere, s-ar fi zis că smochinele sunt mult mai dulci...

39. POLLUX., VI 46 Cireșul, ca pom, se găsește pomenit în poemului Xenofanes, *Despre natură*.

40. ETYM. GEN. s. v. βρόταχον: broasca [βάτραχον], Ionienii și în Xenofanes.

41. TZETZ. la Dion. Perieg. v. 940, p. 1010 Bernhardy Regulă privitoare la cuvintele terminate în – ρος [*în legătură cu* σιρός]: «un sillograf oarecare scrie silaba σι lungă, pentru că, dacă nu mă înșel, o lungește repede cu ajutorul lui ρ»; acum, sillografi au fost Xenofanes, Timon și alții.

FRAGMENTE ÎNDOIELNICE

42. HERODIAN. περὶ μον. λέξ., 7, 11... și la Xenofanes în cartea a IV-a a *Sillilor*: «iar tânărul și-ar dori o slujitoare tânără».

καί <κ'> ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

43. SCHOL. HIPPOCR. ad Epid. I 13, 3 [Nachmanson, Erotian. p. 102, 19] βληστρισμός: ὁ ῥιπτασμός· οὕτω Βακχεῖος τίθησιν· ἐν ἐνίοις δὲ ἀντιγράφοις εὕρομεν βλητρισμὸν χωρὶς τοῦ ς. ὄντως δὲ τὸν ῥιπτασμὸν σημαίνει, καθὼς καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν· 'ἐγὼ δὲ ἐμαυτὸν πόλιν ἐκ πόλεως φέρων ἐβλήστριζον' ἀντὶ τοῦ ἐρριπταζόμην. [cf. fr. B 8, mai sus, p. 62]

43. SCHOL. HIPPOCR. *Ad Epid.*, I 13, 3 [Nachmanson, *Erotian*, p. 102, 19]: **βλητριςμός: înseamnă** ὁ ῥιπτασμός; **astfel zice Bakheios. În unele copii am găsit** βλητρισμός, **fără** ς. **Are, într-adevăr, înțelesullui** ῥιπτασμός **[«frământare, neliniște»], după cum spune și Xenofanes din Colofon: «m-am frământat** (ἐβλήστριζον), **rătăcind din oraș înoraș», în loc de** ἐρριπταζόμην [cf. fr. B 8, mai sus, p. 63].

1. EURIPID., Herc., 1341 [cf. fr. B 11, 12 şi A 32]

ἐγὼ δὲ τοὺς θεοὺς οὔτε λέκτρ' ἃ μὴ θέμις
στέργειν νομίζω, δεσμά τ' ἐξάπτειν χεροῖν
οὔτ' ἠξίωσα πώποτ' οὔτε πείσομαι,
οὐδ' ἄλλον δεσπότην πεφυκέναι.
δεῖται γὰρ ὁ θεός, εἴπερ ἔστ' ὀρθῶς θεός,
οὐδενός· ἀοιδῶν οἵδε δύστηνοι λόγοι.

2. ATHEN., X 413 C διὸ καὶ Εὐριπίδης ἐν τῶι πρώτωι Αὐτολύκωι λέγει [fr. 282 Nauck]

κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·
. . . . . .

ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενογάνους οὕτως εἰρηκότος· 'αλλ' ... πόλεως' [v. mai sus, fr. B 2].

C) IMITAȚII

1. EURIPID., *Herc.*, 1341 [cf. fr. B 11, 12 și A 32] **«Eu nu cred, nici n-am crezut vreodată, nici nu voi crede că zeii râvnesc legături neîngăduite, că-și pun unul altuia cătușe la mâini, sau că unul s-ar face stăpânul celuilalt. Căci un zeu, dacă e cu adevărat zeu, nu duce lipsă de nimic: astea sunt vorbe nesăbuite de-ale poeților».**

2. ATHEN., X 413 C **De aceea și Euripide, în prima versiune a dramei *Autolycos*, zice** [fr. 282 Nauck]: **«Din miile de rele de care e plină Grecia, nu-i rău mai mare decât neamul atleților...** [*urmează o lungă tiradă împotriva «sportivilor» de tot felul*].

Aceste idei le-a luat Euripide din elegiile lui Xenofanes cel din Colofon, care spune... [v. mai sus, fr. B 2].

PARMENIDES

1. DIOG. LAËRT., IX 21–23. (21) Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης (τοῦτον Θεόφραστος ἐν τῆι Ἐπιτομῆι [Phys. Opin. fr. 6a. D. 482, 14] Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι). ὅμως δ' οὖν ἀκούσας καὶ Ξενοφάνους οὐκ ἠκολούθησεν αὐτῶι. ἐκοινώνησε δὲ καὶ Ἀμεινίαι Διοχαίτα τῶι Πυθαγορικῶι, ὡς ἔφη Σωτίων, ἀνδρὶ πένητι μέν, καλῶι δὲ καὶ ἀγαθῶι. ὧι καὶ μᾶλλον ἠκολούθησε καὶ ἀποθανόντος ἡρῶιον ἱδρύσατο γένους τε ὑπάρχων λαμπροῦ καὶ πλούτου, καὶ ὑπ' Ἀμεινίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη. πρῶτος δὲ οὗτος τὴν γῆν ἀπέφαινε σφαιροειδῆ καὶ ἐν μέσωι κεῖσθαι. δύο τε εἶναι στοιχεῖα, πῦρ καὶ γῆν, καὶ τὸ μὲν δημιουργοῦ τάξιν ἔχειν, τὴν δὲ ὕλης. (22) γένεσίν τε ἀνθρώπων ἐξ ἡλίου πρῶτον γενέσθαι· αὐτὸν [?] δὲ ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐξ ὧν τὰ πάντα συνεστάναι. καὶ τὴν ψυχὴν καὶ τὸν νοῦν ταὐτὸν εἶναι, καθὰ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς Φυσικοῖς [fr. 6a. D. 483, 2], πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. δισσήν τε ἔφη τὴν φιλοσοφίαν, τὴν μὲν κατὰ ἀλήθειαν, τὴν δὲ κατὰ δόξαν. διὸ καὶ φησί που· 'χρεὼ ... ἀληθής' [B 1, 28–30]. καὶ αὐτὸς δὲ διὰ ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς. κριτήριον δὲ τὸν λόγον εἶπε· τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. φησὶ γοῦν· 'μηδέ ... ἔλεγχον' [B 1, 34–36].

(23) διὸ καὶ περὶ αὐτοῦ φησιν ὁ Τίμων· [fr. 44 D.]

Παρμενίδου τε βίην μεγαλόφρονος οὐ πολύδοξον,

A) VIAȚA ȘI ÎNVĂȚĂTURA

VIAȚA

1. DIOG. LAËRT., IX 21-23 (21) Auditor al lui Xenofanes a fost Parmenides[1], fiul lui Pyres, din Elea[2] (Theofrast, în *Prescurtare* [*Phys. opin.* fr. 6 a, D. 482, 14], pretinde că l-ar fi ascultat pe Anaximandros). Dar și de l-a ascultat pe Xenofanes, învățătura nu i-a urmat-o[3]. După spusa lui Sotion, a fost prieten și cu Ameinias, fiul lui Diochaites, pytagorician, om sărac, dar distins. De aceea i-a și urmat învățătura și, după moarte, i-a ridicat o capelă, – de neamul lui fiind nobil și bogat. Cătreviața contemplativă[4] s-a îndreptat sub înrâurirea lui Ameinias, nu a lui Xenofanes.

Parmenides, cel dintâi, a arătat că Pământul e sferic[5] și așezat în mijlocul Universului; că elementele primordiale sunt două – focul și pământul – și că unul îndeplinește funcțiunea de creator, iar celălalt de materie; (22) că, dintru început, oamenii s-au născut din nămol[6] și că în ei[7] se întâlnesc caldul și recele, din care toate sunt alcătuite. (Mai spunea iarăși) că sufletul și inteligența sunt unul și același lucru, cum amintește și Theofrast în cărțile-i de *Fizică* [fr. 6 a, D. 483, 2], unde înșiră mai mult sau mai puțin părerile tuturor. Despre filosofie zicea că e de două feluri: una după adevăr, alta după părere. De aceea și spune undeva: «trebuie să te pătrunzi...» [B 1, 28-30]. El însuși își înfățișează învățătura în versuri, ca Hesiod și Xenofanes și Empedocles. Criteriul adevărului era pentru el rațiunea; despre senzații zicea că-s înșelătoare. Chiar și spune: «nici deprindere...» [B 1, 34-36]. (23) De aceea și Timon zice despre el [fr. 44 D.]:

«Tăria singuratecă a lui Parmenide cel cu gânduri mărețe, care

ὅς ῥ' ἀπὸ φαντασίας ἀπάτης ἀνενείκατο νώσεις.
εἰς τοῦτον καὶ Πλάτων τὸν διάλογον γέγραφε 'Παρμενίδην' ἐπιγράψας 'ἢ περὶ ἰδεῶν'. ἤκμαζε δὲ κατὰ τὴν ἑνάτην καὶ ἑξηκοστὴν ὀλυμπιάδα [504–501 a.C.]. καὶ δοκεῖ πρῶτος πεφωρακέναι τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτωι Ἀπομνημονευμάτων (οἱ δὲ Πυθαγόραν)· Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα. λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῶι Περὶ φιλοσόφων. καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν Παντοδαπῆι ἱστορίαι [fr. 14 FHG III 579]. γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τεχνογράφος.

2. SUIDAS Παρμενίδης Πύρητος Ἐλεάτης φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραστος Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ καὶ φιλόσοφος καὶ ἰατρὸς καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι' ἐπῶν καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων [Soph. 237 A. Cf. B 7]

3. DIOG. LAËRT. II 3 Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, ἤκουσεν Ἀναξιμάνδρου, ἔνιοι δὲ καὶ Παρμενίδου φασὶν ἀκοῦσαι αὐτόν. [Cf. fr. A 1]

4. IAMBLICHOS, Vita Pyth., 166 [din Nicomachos] καὶ περὶ τῶν φυσικῶν ὅσοι τινὰ μνείαν πεποίηνται, πρῶτον Ἐμπεδοκλέα καὶ Παρμενίδην τὸν Ἐλεάτην προφερόμενοι τυγχάνουσιν. PROCLOS, In Parmen., I p. 619, 4 (Cousin Paris 1864) ταύτης δ' οὖν ὅπερ εἴπομεν τῆς ἑορτῆς οὔσης ἀφίκοντο Παρμενίδης καὶ Ζήνων Ἀθήναζε, διδάσκαλος μὲν ὁ Π. ὢν μαθητὴς δ' ὁ Ζήνων, Ἐλεᾶται δ' ἄμφω καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῦ Πυθαγορικοῦ διδασκαλείου μεταλαβόντε, καθάπερ που καὶ Νικόμαχος ἱστόρησεν. PHOTIOS. Bibl. c. 249 (*Vita Pyth.*)

a abătut cugetele de la înșelăciunea închipuirilor».

În cinstea lui a scris și Platon dialogul intitulat *Parmenides* sau *Despre idei*. Înflorea către cea de a 69-a olimpiadă [504-501 a. C.]. Pare să fi fost cel dintâi[8] care a observat că luceafărul de zi și luceafărul de seară sunt unul și același, după spusele lui Favorinos în cartea a V-a a *Memorabilelor*; alții cred că Pythagoras, dar Callimach pretinde că poemul n-ar fi de el. Se mai zice că ar fi dat și legi concetățenilor săi, după afirmația lui Speusippos[9] în cartea *Despre filosofi*, și că cel dintâi ar fi pus în discuție raționamentul lui Achille, cum spune Favorinos în *Istoria Generală* [fr. 14, FGH III 579]. A mai fost și un alt Parmenides, retor, care a scris lucrări de specialitate.

2. SUIDAS Parmenides, fiul lui Pyres, filosof eleat, elev al lui Xenofanes din Colofon; după Theofrast, al lui Anaximandros din Milet[10]. A avut ca elevi pe Empedocles, filosof și medic, și pe Zenon din Elea. A scris despre natură, în versuri, și alte lucrări în proză[11], amintite de Platon [*Soph.* 237 A. Cf. B 7].

3. DIOG. LAËRT. II 3 Anaximenes din Milet, fiul lui Eurystratos, auditor al lui Anaximandros; unii pretind că l-ar fi ascultat și pe Parmenides[12]. [Cf. fr. A 1]

4. IAMBLICHOS, *Vita Pyth.*, 166 [din Nicomachos]... cât i vorbesc în vreun fel de științele naturii, sunt de acord să pomenească în primul rând pe Empedocles și pe Parmenides eleatul. PROCLOS, *In Parmen.*, I p. 619, 4 (Cousin, Paris, 1864). În timpul sărbătorii de care a fost vorba, au sosit la Atena Parmenides și Zenon – unul învățător, altul învățăcel – amândoi eleați, și nu numai atât, dar și membri ai școlii pytagoreice, cum o spune undeva Nicomachos[13].

p. 439a 36 Ζήνωνα καὶ Παρμενίδην τοὺς Ἐλεάτας· καὶ οὗτοι δὲ τῆς Πυθαγορείου ἦσαν διατριβῆς.

5. PLATON, Theaet., 183 E Π. δέ μοι (*Socrate*) φαίνεται τὸ τοῦ Ὁμήρου αἰδοῖός τέ μοι εἶναι ἅμα δεινός τε· συμπροσέμειξα γὰρ δὴ τῶι ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτηι καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον. Sophist. 217 C δι' ἐρωτήσεων, οἷόν ποτε καὶ Παρμενίδηι χρωμένωι καὶ διεξιόντι λόγους παγκάλους παρεγενόμην ἐγὼ νέος ὢν ἐκείνου μάλα δὴ τότε ὄντος πρεσβύτου. PARM. 127 A ἔφη δὲ δὴ ὁ Ἀντιφῶν λέγειν τὸν Πυθόδωρον ὅτι ἀφίκοιντό ποτε εἰς Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Π.· τὸν μὲν οὖν Παρμενίδην εὖ μάλα δὴ πρεσβύτην εἶναι σφόδρα πολιόν, καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ ἐγγὺς ἐτῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. καταλύειν δὲ αὐτοὺς ἔφη παρὰ τῶι Πυθοδώρωι ἐκτὸς τείχους ἐν Κεραμεικῶι· οἳ δὴ καὶ ἀφικέσθαι τόν τε Σωκράτη καὶ ἄλλους τινὰς μετ' αὐτοῦ πολλούς, ἐπιθυμοῦντας ἀκοῦσαι τῶν τοῦ Ζήνωνος γραμμάτων· τότε γὰρ αὐτὰ πρῶτον ὑπ' ἐκείνων κομισθῆναι· Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον. [cf. com. lui Procl. la acest loc, p. 684, 21]. ATHEN., XI 505 F Παρμενίδηι μὲν γὰρ καὶ ἐλθεῖν εἰς λόγους τὸν τοῦ Πλάτωνος Σωκράτην μόλις ἡ ἡλικία συγχωρεῖ, οὐχ ὡς καὶ τοιούτους εἰπεῖν ἢ ἀκοῦσαι λόγους. τὸ δὲ πάντων σχετλιώτατον καὶ <ψευδέστατον> τὸ εἰπεῖν οὐδεμιᾶς κατεπειγούσης χρείας ὅτι παιδικὰ γεγόνοι τοῦ Παρμενίδου Ζήνων ὁ πολίτης αὐτοῦ. [MACROB., Sat., I 1, 5]. DIOG. LAËRT., IX 25 Ζήνων Ἐλεάτης. τοῦτον Ἀπολλόδωρός φησιν εἶναι ἐν Χρονικοῖς [F GrHist. 244 F 30 II 1028] [Πύρητος τὸν δὲ Παρμενίδην] φύσει μὲν Τελευταγόρου, θέσει δὲ Παρμενίδου ... ὁ δὴ Ζήνων διακήκοε Παρμενίδου καὶ γέγονεν αὐτοῦ παιδικά.

PHOTIOS, *Bibl.*, c 249 (*Vita Pyth.*), p. 439 a 36... pe eleații Zenon și Parmenides: și aceștia adepți ai învățăturii pythagoreice.

5. PLATON, *Theaet.*, 183 E Mie (*vorbește Socrate*), Parmenides îmi apare, cum zice Homer, totodată venerabil și temut; am putut într-adevăr să-l cunosc – când eram tânăr tare, iar el tare bătrân – și mi s-a părut înzestrat cu o profunzime cu totul neobișnuită. *Sophist.*, 217 C Pe calea întrebărilor, de care se slujea și Parmenides în frumoasele-i demonstrații, cum am avut prilejul să văd într-o vreme când eram tânăr, iar el foarte bătrân. – *Parm.*, 127 A Zicea dar Antifon că Pythodoros ar fi povestit cum au venit odată, la sărbătoarea Marilor Panatenee, Zenon și Parmenides; Parmenides, destul de bătrân și cărunt tare, – dar distins la înfățișare, – cam de vreo șaizeci și cinci de ani; Zenon, care atunci se apropia de patruzeci, bine făcut și plăcut la vedere[14]: se zicea de el că ar fi fost iubitul lui Parmenides. Spunea că au tras la Pythodoros, dincolo de ziduri, în părțile Ceramicului[15]. Acolo au venit Socrate și, cu el, alții mulți, doritori să ia cunoștință de scrisele lui Zenon, atunci pentru întâia oară aduse la Atena: Socrate ar fi fost pe vremea aceea foarte tânăr [cf. com. lui Procl. la acest loc, p. 684, 21]. ATHEN., XI 505 F Abia dacă vârstaîngăduie ca platonicul Socrate să fi stat de vorbă cu Parmenides, necum să fi ascultat ori purtat cu el discuții ca acelea. Ce e însă mai grav și mai neadevărat decât toate e când, fără nici o nevoie, pretinde că Zenon, concetățeanul lui Parmenides, ar fi fost iubitul acestuia. [MACROB, *Sat.*, I, 5]. DIOG. LAËRT, IX 25 Zenon din Elea. Despre acesta, în *Cronica* sa [FGrHist 244 F 30, II 1028], Apollodoros pretinde că ar fi fost fecior al lui Teleutagoras, adoptat de Parmenides... Zenon a urmat învățătura lui Parmenides și a fost iubitul lui.

6. ARISTOT., Metaph., A 5. 986b 22 ὁ γὰρ Π. τούτου λέγεται γενέσθαι μαθητής. [cf. Xenof., fr. A 30].

7. ALEX., In Metaph., A 3. 984b 3 p. 31, 7 Hayd. περὶ Παρμενίδου καὶ τῆς δόξης αὐτοῦ καὶ Θεόφραστος ἐν τῶι πρώτωι Περὶ τῶν φυσικῶν [fr. 6 D. 482, 5] οὕτως λέγει· 'τούτωι δὲ ἐπιγενόμενος Π. Πύρητος ὁ Ἐλεάτης' (λέγει δὲ [καὶ] Ξενοφάνην) 'ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀίδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων, οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγένητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχάς, πῦρ καὶ γῆν, τὸ μὲν ὡς ὕλην τὸ δὲ ὡς αἴτιον καὶ ποιοῦν.' SIMPL., Phys., 22, 27 ... Ξενοφάνην τὸν Κολοφώνιον, τὸν Παρμενίδου διδάσκαλον [după Theofrast].

8. SIMPL., Phys., 28, 4 (Theophr., Phys. Opin., fr. 8. D. 483, 11) Λεύκιππος δὲ ὁ Ἐλεάτης ἢ Μιλήσιος (ἀμφοτέρως γὰρ λέγεται περὶ αὐτοῦ) κοινωνήσας Παρμενίδηι τῆς φιλοσοφίας οὐ τὴν αὐτὴν ἐβάδισε Παρμενίδηι καὶ Ξενοφάνει περὶ τῶν ὄντων ὁδόν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν. ἐκείνων γὰρ ἓν καὶ ἀκίνητον καὶ ἀγένητον καὶ πεπερασμένον ποιούντων τὸ πᾶν καὶ τὸ μὴ ὂν μηδὲ ζητεῖν συγχωρούντων οὗτος ἄπειρα καὶ ἀεὶ κινούμενα ὑπέθετο στοιχεῖα τὰς ἀτόμους.

9. DIOG. LAËRT., VIII 55 ὁ δὲ Θεόφραστος [Phys. Op., fr. 3 D. 477] Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν [Empedocles] γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασιν· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως ἐξενεγκεῖν λόγον.

10., SIMPL. Phys., 25, 19 Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος οὐ πολὺ κατόπιν τοῦ Ἀναξαγόρου γεγονώς, Παρμενίδου δὲ

6. ARISTOT., *Metaph.*, A 5.986 b 22 Se zice că Parmenides ar fi fost elevul acestuia [al lui Xenofanes; cf. Xenof., fr. A 30].

7. ALEX., *In Metaph.*, A 3.984 b 3, p. 31, 7 Hayd. Despre Parmenides și doctrina sa, Theofrast scrie și el în prima din cărțile *Despre natură* [fr. 6 D. 482, S]: «venit în urma lui[16] [*e vorba de Xenofanes*], Parmenides, fiul lui Pyres, eleatul, a umblat pe amândouă aceste căi. Într-adevăr, nu se mulțumește să susțină că Totul e veșnic, dar încearcă să dea și un început celor existente, firește considerând problema din puncte de vedere diferite: potrivit adevărului, susținând că Totul e Unu, increat și sferic, potrivit părerii celor mulți, admițând două principii susceptibile să explice originea fenomenelor, – focul și pământul, – unul ca materie, altul ca pricină și agent». SIMPL., *Phys.*, 22, 27... Xenofanes din Colofon, învățătorul lui Parmenides [după Theofrast].

8. SIMPL., *Phys.*, 28, 4 [Theophr., *Phys. Opin.*, fr. 8 D. 483, 11] Leucippos eleatul sau milesianul (informațiile despre el sunt în amândouă felurile), măcar că s-a împărtășit din învățătura lui Parmenides, n-a urmat în metafizică calea acestuia și pe a lui Xenofanes, ci, pe cât se pare, o cale opusă. Într-adevăr, câtă vreme cei doi gândeau că Totul e Unu, nemișcat, increat și mărginit, și erau de acord că neființa nu poate fi nici măcar obiect de cercetare, el postula existența atomilor, elemente infinite la număr și în veșnică mișcare.

9. DIOG. LAËRT., VIII SS Theofrast [*Phys. Op.*, fr. 3 D. 477] spune despre el [*evorba de Empedocles*] că ar fi fost emul al lui Parmenides și imitator al acestuia în compunerile lui poetice; se știe, într-adevăr, că și el și-a expus în versuri învățătura despre natură.

10. SIMPL., *Phys.*, 25, 19 Empedocles din Agrigent, care a trăit nu mult după Anaxagoras, a fost emulul și apropiatul lui Parme-

ζηλωτὴς καὶ πλησιαστὴς καὶ ἔτι μᾶλλον τῶν Πυθαγορείων. [din Theofrast, cf. fr. 9].

11. EUSEB. Chron. a) Hieron. Ἐμπεδοκλῆς καὶ Π. φυσικοὶ φιλόσοφοι ἐγνωρίζοντο [la anul de la Abraham 1561; versiunea armeană olympiada 81, 1 (456 a. C.)]. b) τότε καὶ Δημόκριτος Ἀβδηρίτης φυσικὸς φιλόσοφος ἐγνωρίζετο καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος Ζήνων τε καὶ Π. οἱ φιλόσοφοι καὶ Ἱπποκράτης Κῶιος [Hieronym vers. arm. la anul de la Abraham 1581 (436 a. C.)]. Cf. CHRONIC. HENZEN. (Inscr. Sic. et It. [IG XIV] 1297, 30) între Xerxes și războiul peloponesiac; anul nu se poate citi: ἀφ' οὗ Σωκράτης ὁ φιλόσοφος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος καὶ Ἀναξαγόρας καὶ Π. καὶ Ζήνων ἔτη ...

12. STRABO, VI 1, p. 252 κάμψαντι δ' ἄλλος συνεχὴς κόλπος, ἐν ὧι πόλις, ἣν οἱ μὲν κτίσαντες Φωκαιεῖς Ὑέλην, οἱ δὲ Ἔλην ἀπὸ κρήνης τινός, οἱ δὲ νῦν Ἐλέαν ὀνομάζουσιν, ἐξ ἧς Π. καὶ Ζήνων ἐγένοντο ἄνδρες Πυθαγόρειοι. δοκεῖ δέ μοι καὶ δι' ἐκείνους καὶ ἔτι πρότερον εὐνομηθῆναι [cf. A 1, mai sus, p. 78]. PLUTARCH. adv. Col. 32 p. 1126 A Π. δὲ τὴν ἑαυτοῦ πατρίδα διεκόσμησε νόμοις ἀρίστοις, ὥστε τὰς ἀρχὰς καθ' ἕκαστον ἐνιαυτὸν ἐξορκοῦν τοὺς πολίτας ἐμμενεῖν τοῖς Παρμενίδου νόμοις.

13. DIOG. LAËRT., I 16 οἱ δὲ [sc. κατέλιπον] ἀνὰ ἓν σύγγραμμα· Μέλισσος, Π., Ἀναξαγόρας.

14. SIMPL., De caelo, 556, 25 ἢ ὅτι Περὶ φύσεως ἐπέγραφον τὰ συγγράμματα καὶ Μέλισσος καὶ Π. ... καὶ μέντοι οὐ περὶ τῶν ὑπὲρ φύσιν μόνον, ἀλλὰ καὶ περὶ τῶν φυσικῶν ἐν αὐτοῖς τοῖς συγγράμμασι διελέγοντο καὶ διὰ τοῦτο ἴσως

nides, și încă și mai mult al pythagoreilor[17] [din Theofrast, cf. fr. 9].

11. EUSEB., *Chron.*: a) Hieron. **Empedocles și Parmenides, filosofi ai naturii, ajung la notorietate** [*la anul de la Abraham 1561; versiunea armeană olympiada* 81, 1 (456 a. C.)]: b) **în vremea aceea se fac cunoscuți Democrit din Abdera, filosof naturalist, apoi filosofii Empedocles din Agrigent, Zenon și Parmenides și Hippocrates din Cos** [*Hieronym vers. arm. la anul de la Abraham 1581 (436 a. C.)*]. Cf. CHRONIC. HENZEN. [*Inscr. Sic. et It. (IG XIV) 1297, 30*], *între Xerxes și războiul peloponesiac; anul nu se poate citi*: **de când au trăit filosoful Socrate și Heraclit din Efes și Anaxagoras și Parmenides și Zenon, ani...**

12. STRABO VI, 1, p. 252 **După ce cotești, urmează îndată un alt golf cu un oraș căruia foceenii, care l-au întemeiat, îi zic Iele, alții Ele, după numele unui izvor, iar contemporanii Elea, de unde sunt de fel pytagoricii Parmenides și Zenon. Mulțumită lor, și chiar și înainte, orașul pare să fi fost bine cârmuit** [cf. A 1, mai sus, p. 79]. PLUTARCH., *Adv. Col.*, 32, p. 1126 A **Parmenides și-a rânduit patria cu legi atât de bune, încât până la o vreme, în fiece an, cetățenii jurau să păstreze legile lui Parmenides.**

POEZIA [cf. fr. A 1, 2]

13. DIOG. LAËRT., I 16 **Alții [*au lăsat după ei*] câte o singură operă: Melissos, Parmenides, Anaxagoras.**

14. SIMPL., *De caelo*, 556, 25... **sau pentru că și Melissos și Parmenides și-au intitulat operele *Despre natură*... Totuși, în aceste opere, n-au tratat numai despre lucrurile supranaturale, ci și despre cele din natură, motiv pentru care poate nici n-au**

οὐ παρητοῦντο Περὶ φύσεως ἐπιγράφειν.

15. PLUT., Quomodo adul. poet. aud. deb., 2, p. 16 C τὰ δ' Ἐμπεδοκλέους ἔπη καὶ Παρμενίδου καὶ Θηριακὰ Νικάνδρου καὶ Γνωμολογίαι Θεόγνιδος λόγοι εἰσὶ κεχρημένοι παρὰ ποιητικῆς ὥσπερ ὄχημα τὸ μέτρον καὶ τὸν ὄγκον, ἵνα τὸ πεζὸν διαφύγωσιν. [Cf. Plut., *De Pythiae oraculis*, 15, 402 E].

16. — De audiendo, 13, p. 45 A μέμψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιίαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ τὴν ἀνωμαλίαν. [Cf. Xenof., fr. A 25].

17. PROCL., In Tim., I 345, 12 Diehl ὁ δέ γε Π. καίτοι διὰ ποίησιν ἀσαφὴς ὢν ὅμως καὶ αὐτὸς ταῦτα ἐνδεικνύμενός φησιν.

18. — In Parm., I p. 665, 17 αὐτὸς ὁ Π. ἐν τῇι ποιήσει· καίτοι δι' αὐτὸ δήπου τὸ ποιητικὸν εἶδος ῥῆσθαι μεταφοραῖς ὀνομάτων καὶ σχήμασι καὶ τροπαῖς ὀφείλων ὅμως τὸ ἀκαλλώπιστον καὶ ἰσχνὸν καὶ καθαρὸν εἶδος τῆς ἀπαγγελίας ἠσπάσατο. δηλοῖ δὲ τοῦτο ἐν τοῖς τοιούτοις (se citează B 8, 25. 5. 44. 45) καὶ πᾶν ὅ τι ἄλλο τοιοῦτον· ὥστε μᾶλλον πεζὸν εἶναι δοκεῖν ἢ ποιητικὸν <τὸν> λόγον.

19. SIMPL., Phys., 36, 25 ἐπειδὴ δὲ καὶ Ἀριστοτέλους ἐλέγχοντος ἀκουσόμεθα τὰς τῶν προτέρων φιλοσόφων δόξας καὶ πρὸ τοῦ Ἀριστοτέλους ὁ Πλάτων τοῦτο φαίνεται ποιῶν καὶ πρὸ ἀμφοῖν ὅ τε Π. καὶ Ξενοφάνης, ἰστέον ὅτι τῶν ἐπιπολαιότερον ἀκροωμένων οὗτοι κηδόμενοι τὸ φαινόμενον ἄτοπον ἐν τοῖς λόγοις αὐτῶν διελέγχουσιν, αἰνιγματωδῶς εἰωθότων τῶν παλαιῶν τὰς ἑαυτῶν ἀποφαίνεσθαι γνώμας.

șovăit să le intituleze *Despre natură*.

15. PLUT., *Quomodoadul. poet. aud. deb.*, 2, p. 16 C Poemele lui Empedocles și Parmenides, ori *Cartea Fiarelor* a lui Nicandros[18], ori *Povețele* lui Theognis sunt compuneri ce împrumută de la poezie metrul și gravitatea, pentru a evita exprimarea în proză[19]. [Cf. Plut., *De Pythiae oraculis*, 15, 402 E].

16. — *De audiendo*, 13, p. 45 A Lui Archilochos i s-ar putea imputa subiectul, lui Parmenides versificația, lui Fokylides vulgaritatea, lui Euripide prolixitatea, lui Sofocle inegalitatea... [Cf. Xenof., fr. A 25].

17. PROCL., *In Tim.*, I 345, 12 Diehl. Parmenides, cu toate că obscur din pricina întrebuințării versului, susține și el aceleași lucruri...

18. — *In Parm.*, I p. 665, 17... Parmenides însuși în poemul lui. Deși obligat de forma poetică adoptată să întrebuințeze metafore, figuri de stil și «tropi», și-a ales totuși un mod de expunere neîmpodobit, simplu și pur. Dovadă următoarele pasaje [*se citează* B 8, 25.5.44.45] și oricare altul la fel; așa că expunerea e mai curând a unei compuneri în proză decât a unei poezii.

19. SIMPL., *Phys.*, 36, 25 De vreme ce vom avea prilejul să-l ascultăm pe Aristotel respingând doctrinele primilor filosofi, lucru pe care înaintea lui pare să-l fi făcut Platon și, înaintea amândurora, Parmenides și Xenofanes, trebuie avut în vedere că, de dragul unor ascultători superficiali, aceștia resping ceea ce pare absurd în teoriile înaintașilor, știut fiind că cei vechi obișnuiau să-și expună învățătura în chip enigmatic.

20. — — 146, 29 εἰ δ' ἐυκύκλου σφαίρης ἐναλίγκιον ὄγκωι· τὸ ἓν ὄν φησι [B 8, 43], μὴ θαυμάσηις· διὰ γὰρ τὴν ποίησιν καὶ μυθικοῦ τινος παράπτεται πλάσματος. τί οὖν διέφερε τοῦτο εἰπεῖν ἢ ὡς Ὀρφεὺς [fr. 70, 2 Kern] εἶπεν ἠεὸν ἀργύφεον'; MENANDER [mai curând GENETHLIOS], Rhet. I 2, 2 φυσικοὶ [sc. ὕμνοι] δὲ ὁποίους οἱ περὶ Παρμενίδην καὶ Ἐμπεδοκλέα ἐποίησαν [cf. Emped., A 23]. Ibid., I 5, 2 εἰσὶν δὲ τοιοῦτοι, ὅταν Ἀπόλλωνος ὕμνον λέγοντες ἥλιον αὐτὸν εἶναι φάσκωμεν καὶ περὶ τοῦ ἡλίου τῆς φύσεως διαλεγώμεθα καὶ περὶ Ἥρας ὅτι ἀήρ, καὶ Ζεὺς τὸ θερμόν· οἱ γὰρ τοιοῦτοι ὕμνοι φυσιολογικοί. καὶ χρῶνται δὲ τῶι τοιούτωι τρόπωι Π. τε καὶ Ἐμπεδοκλῆς ἀκριβῶς ... Π. μὲν γὰρ καὶ Ἐμπεδοκλῆς ἐξηγοῦνται, Πλάτων δὲ ἐν βραχυτάτοις ἀναμιμνήισκει.

21. SIMPL., Phys., 144, 25 καὶ εἴ τωι μὴ δοκῶ γλίσχρος, ἡδέως ἂν τὰ περὶ τοῦ ἑνὸς ὄντος ἔπη τοῦ Παρμενίδου μηδὲ πολλὰ ὄντα τοῖσδε τοῖς ὑπομνήμασι παραγράψαιμι διά τε τὴν πίστιν τῶν ὑπ' ἐμοῦ λεγομένων καὶ διὰ τὴν σπάνιν τοῦ Παρμενιδείου συγγράμματος.

PHILOP., In Phys., 65, 23 Vit. φασὶ δὲ γεγράφθαι αὐτῶι (Aristotel) ἰδίαι βιβλίον πρὸς τὴν Παρμενίδου δόξαν.

22. [PLUT.], Strom., 5 (Eus., P. E., I 8, 5 D. 580) Π. δὲ ὁ Ἐλεάτης, ἑταῖρος Ξενοφάνους, ἅμα μὲν καὶ τῶν τούτου δοξῶν ἀντεποιήσατο, ἅμα δὲ καὶ τὴν ἐναντίαν ἐνεχείρησεν στάσιν. ἀίδιον μὲν γὰρ τὸ πᾶν καὶ ἀκίνητον ἀποφαίνεται [καὶ] κατὰ τὴν τῶν πραγμάτων ἀλήθειαν· εἶναι γὰρ αὐτὸ 'μοῦνον μουνογενές τε .. ἀγένητον' [B 8, 4]. γένεσιν δὲ τῶν καθ' ὑπόληψιν ψευδῆ δοκούντων εἶναι. καὶ τὰς αἰσθήσεις ἐκβάλλει ἐκ τῆς ἀληθείας. φησὶ δὲ ὅτι εἴ τι παρὰ τὸ ὂν

20. — — 146, 29 **Dacă despre ființa unică zice că e «asemenea massei bine rotunjite a sferei»** [B 8, 43] **nu-i cazul să ne mirăm: forma poetică îl face să folosească și câte o imagine mitică. E poate vreo deosebire între a te exprima astfel sau a vorbi ca Orfeu** [fr. 70, 2 Kern] **de «ou imaculat»?** – MENANDER [mai curând GENETHLIOS], *Rhet.*, I 2, 2 (*cânturi*) **despre natură, ca acele compuse de Parmenides, Empedocles și cei din preajma lor.** [cf. Emped., A 23] *Ibid.*, I 5, 2 (*cânturi*) **de felul acesta avem atunci când, înălțând un imn lui Apollo, zicem de el că e Soarele și vorbim de natura Soarelui; sau despre Hera, că e aerul, sau de Zeus că e dogoarea. Asemenea cânturi țin de știința naturii. De modul acesta de exprimare se slujesc mai ales Parmenides și Empedocles... Căci Parmenides și Empedocles răstălmăcesc, Platon amintește în câteva cuvinte.**

21. SIMPL., *Phys.*, 144, 25 **De nu m-aș teme să apar pisălog, bucuros aș reproduce, între aceste însemnări, versurile nu prea numeroase ale lui Parmenides despre Ființa unică, atât pentru întărirea celor spuse de mine, cât și pentru raritatea operei parmenidiene**[20].

ÎNVĂȚĂTURA [cf. fr. A 1, 7, 8]

PHILOP., *In Phys.*, 65, 23 Vit. **Se zice că acesta (Aristotel) ar fi scris o carte despre doctrina lui Parmenides.**

22. [PLUT.], *Strom.*, 5 (Eus., *P. E.*, I 8, 5 D. 580) **Parmenides eleatul, tovarăș al lui Xenofanes, pe de o parte și-a însușit învățăturile acestuia, pe de alta a susținut și o atitudine contrară. Arată, într-adevăr, că, după adevărata fire a lucrurilor, Totul e veșnic și nemișcat, «Unu, singur existent... și increat»** [B 8, 4] **și că devenirea ar fi de domeniul celor ce par a exista după o falsă credință. Exclude senzațiile din domeniul adevărului. Pretinde că, dacă mai există ceva afară de ființă, nu poate fi ființă, și că neființa e cu**

ὑπάρχει, τοῦτο οὐκ ἔστιν ὄν· τὸ δὲ μὴ ὂν ἐν τοῖς ὅλοις οὐκ ἔστιν. οὕτως οὖν τὸ ὂν ἀγένητον ἀπολείπει· λέγει δὲ τὴν γῆν τοῦ πυκνοῦ καταρρυέντος [ἀέρος] γεγονέναι. [din Theofr., Phys. Opin., ca mai jos, fr. 23, 28 şi urm.].

23. HIPPOL. Ref. I 11 (D. 564 W. 16) (1) καὶ γὰρ καὶ Π. ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀίδιόν τε καὶ ἀγένητον καὶ σφαιροειδές οὐδ' αὐτὸς ἐκφεύγων τὴν τῶν πολλῶν δόξαν πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς, τὴν μὲν γῆν ὡς ὕλην τὸ δὲ πῦρ ὡς αἴτιον καὶ ποιοῦν. τὸν κόσμον ἔφη φθείρεσθαι, ὧι δὲ τρόπωι, οὐκ εἶπεν. (2) ὁ αὐτὸς δὲ εἶπεν ἀίδιον εἶναι τὸ πᾶν καὶ οὐ γενόμενον καὶ σφαιροειδὲς καὶ ὅμοιον, οὐκ ἔχον δὲ τόπον ἐν ἑαυτῶι, καὶ ἀκίνητον καὶ πεπερασμένον.

24. ARISTOT., Metaph., A 5. 986 b 18 Π. μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι κτλ. b 27 Π. δὲ μᾶλλον βλέπων ἔοικέ που λέγειν. παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐδὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὂν καὶ ἄλλο οὐδέν ... ἀναγκαζόμενος δ' ἀκολουθεῖν τοῖς φαινομένοις καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ δύο τὰς ἀρχὰς πάλιν τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων. τούτων δὲ κατὰ μὲν τὸ ὂν τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν – Γ S. 1010a 1 περὶ τῶν ὄντωνμὲν τὴν ἀλήθειαν ἐσκόπουν, τὰ δ' ὄντα ὑπέλαβον εἶναι τὰ αἰσθητὰ μόνον.

25. — De caelo, Γ 1. 298b 14 οἱ μὲν γὰρ αὐτῶν ὅλως ἀνεῖλον γένεσιν καὶ φθοράν· οὐθὲν γὰρ οὔτε γίγνεσθαί φασιν οὔτε φθείρεσθαι τῶν ὄντων, ἀλλὰ μόνον δοκεῖν ἡμῖν, οἷον οἱ περὶ Μέλισσόν τε καὶ Παρμενίδην, οὓς εἰ καὶ τἆλλα λέγουσι καλῶς, ἀλλ' οὐ φυσικῶς γε δεῖ νομίσαι λέγειν· τὸ γὰρ εἶναι ἅττα τῶν ὄντων ἀγένητα καὶ ὅλως ἀκίνητα μᾶλλόν ἐστιν ἑτέρας καὶ προτέρας ἢ τῆς φυσικῆς σκέψεως.

totul inexistentă. În felul acesta ajunge să proclame ființa ca increată. Mai spune apoi că pământul ar fi luat naștere pe urma precipitării elementului dens [din Theofr., *Phys. Opin.*, ca mai jos, fr. 23, 28 și urm.].

23. HIPPOL., *Ref.*, I 11 (D. 564 W. 16) (1) Doar și Parmenides afirmă despre Tot că ar fi Unu, veșnic, nenăscut și sferic, fără să se abată de la părerea celor mulți, potrivit căreia focul și pământul sunt principiile a tot ce există, – pământul materie, iar focul cauză și agent. Mai zicea că lumea e sortită pieirii; n-a lămurit însă în ce chip. (2) Tot el a spus că Totul e veșnic, increat, sferic și omogen, – lipsit de spațiu înlăuntru-i, – apoi nemișcat și mărginit.

24. ARISTOT., *Metaph.*, A 5.986 b 18 Parmenides pare să fi ajuns la concepția unității potrivit rațiunii[21] – b 27... Parmenides pare a vorbi cu o viziune oarecum mai limpede a lucrurilor. Într-adevăr, pornind de la ideea că – în afara ființei – neființa nu-i nimic, ajunge să creadă în chip necesar că ființa e una și altceva nimic... Constrâns să țină însă seama de aparențe și să admită că unitatea există după rațiune, iar pluralitatea după datele simțurilor, e adus să susțină existența a două cauze și a două principii, caldul și recele, – cum s-ar zice focul și pământul. Din acestea, caldul îl pune în rândul ființei, pe celălalt în rândul neființei. – Γ 5.1010 a 1 Aceștia căutau adevărul în privința celor existente, dar ca existente admiteau numai pe cele sensibile.

25. — *De caelo*, Γ 1.298 b 14 Dintre ei, unii tăgăduiesc cu totul nașterea și pieirea; susțin, într-adevăr, că, din câte există, nimic nu se naște și nimic nu piere, – ci numai ni se pare, – cum fac adepții lui Melissos și ai lui Parmenides, care, și de vorbesc cu rost în alte privințe, n-o fac, trebuie să credem, ca naturaliști, de vreme ce a pretinde că unele ființe ar fi nenăscute și cu totul nemișcate ține de o mentalitate alta decât a naturalistului și

de gen. et corr. A 8. 325a 13 ἐκ μὲν οὖν τούτων τῶν λόγων ὑπερβάντες τὴν αἴσθησιν καὶ παριδόντες αὐτὴν ὡς τῶι λόγωι δέον ἀκολουθεῖν ἓν καὶ ἀκίνητον τὸ πᾶν εἶναί φασι καὶ ἄπειρον ἔνιοι· τὸ γὰρ πέρας περαίνειν ἂν πρὸς τὸ κενόν. οἱ μὲν οὖν οὕτως καὶ διὰ ταύτας τὰς αἰτίας ἀπεφήναντο περὶ τῆς ἀληθείας. ἔτι δὲ ἐπὶ μὲν τῶν λόγων δοκεῖ ταῦτα συμβαίνειν, ἐπὶ δὲ τῶν πραγμάτων μανίαι παραπλήσιον εἶναι τὸ δοξάζειν οὕτως (Philop. în acest punct 157, 27 μέμφεται τοὺς περὶ Παρμενίδην, ὅτι ἐνόμισαν τῆι μὲν ἐναργείαι τῶν πραγμάτων μὴ δεῖν ὅλως προσέχειν, μόνηι δὲ τῆι τῶν λόγων ἀκολουθίαι).

26. PLATON, Theaet., 181 A ἐὰν δὲ οἱ τοῦ ὅλου στασιῶται ἀληθέστερα λέγειν δοκῶσι, φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὖ τῶν τὰ ἀκίνητα κινούντων. SEXT. adv. math. X 46 μὴ εἶναι δὲ [sc. τὴν κίνησιν] οἱ περὶ Παρμενίδην καὶ Μέλισσον, οὓς ὁ Ἀριστοτέλης [într-unul din dialogii săi, referindu-se la pasajul abia citat din «Theaitetos»] 'στασιώτας τε καὶ ἀφυσίκους' κέκληκεν, στασιώτας μὲν ἀπὸ τῆς στάσεως, ἀφυσίκους δὲ ὅτι ἀρχὴ κινήσεώς ἐστιν ἡ φύσις, ἣν ἀνεῖλον φάμενοι μηδὲν κινεῖσθαι.

27. ARISTOT., Phys., Γ 6. 207a 9 οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηθὲν ἄπεστιν οἷον ἄνθρωπον ὅλον ἢ κιβωτόν. ὥσπερ δὲ τὸ καθ' ἕκαστον οὕτω καὶ τὸ κυρίως οἷον τὸ ὅλον οὗ μηδέν ἐστιν ἔξω· οὗ δ' ἐστὶν ἀπουσία ἔξω, οὐ πᾶν ὅ τι ἂν ἀπῆι. ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν ἐστίν. τέλειον δ' οὐδὲν μὴ ἔχον τέλος· τὸ δὲ τέλος πέρας. διὸ βέλτιον οἰητέον Παρμενίδην Μελίσσου

anterioară ei.

De gen. et corr., A 8.325 a 13 Pornind de la un fel de judecată ce nu ține seamă de senzație și o disprețuiește, cu convingerea că cea care trebuie urmată e rațiunea, unii (filosofi) susțin că Totul e Unu, nemișcat și nemărginit, – pentru că o margine s-ar mărgini cu vidul. În felul acesta, și pentru astfel de considerații, s-au exprimat unii despre adevăr. Și, nici vorbă, potrivit desfășurării raționamentului, lucrurile ar putea părea așa; ținând însă seamă de lucruri, a crede astfel e aproape o nebunie. (Philop. în acest punct, 157, 27: «mustră pe adepții lui Parmenides, pentru că socoteau că nu trebuie ținută seamă câtuși de puțin de evidența lucrurilor, ci numai de înlănțuirea argumentelor»).

26. PLATON, *Theaet.*, 181 A Iar de ni se va părea că e mai mult adevăr în spusele celor pentru care Totul stă în loc, vom trece de partea lor, părăsind pe cei ce pun în mișcare până și lucrurile nemișcate. SEXT., *Adv. math.*, X 46 Pretind că nu există (mișcare) adepții lui Parmenides și ai lui Melissos, pe care Aristotel [într-unul din dialogii săi, referindu-se la pasajul abia citat din «Theaitetos»] îi numește στασιώτας și ἀφυσίκους: στασιώτας de la στάσις («oprire în loc»), ἀφυσίκους de la faptul că începutul mișcării e natura (φύσις), împotriva căreia s-au ridicat pretinzând că nimic nu se mișcă.

27. ARISTOT., *Phys.*, III 6, 207 a 9 Într-adevăr, așa se definește totul: ceva din care nimic nu lipsește, cum ar fi un om întreg sau o ladă întreagă. Și anume atât când e vorba de obiecte particulare, cât și în înțelesul absolut al cuvântului: acel «tot», bunăoară, în afară de care nu există nimic; căci lucrul din care ceva există de sine stătător nu-i tot, orice ar fi acest ceva. «Tot», iarăși, și «complet» sunt ori unul și același lucru, ori foarte apropiate ca înțeles. Într-adevăr, nimic nu-i complet, ce nu-i sfârșit; iar sfârșit înseamnă margine. Iată de ce trebuie să credem că Parmenides a grăit mai bine decât Melissos: pentru acesta nemărginitul e una

εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν, ὁ δὲ τὸ ὅλον πεπεράνθαι 'μεσσόθεν ἰσοπαλές' [B 8, 44].

28. SIMPL., Phys., 115, 11 τὸν Παρμενίδου λόγον, ὡς ὁ Ἀλέξανδρος ἱστορεῖ, ὁ μὲν Θεόφραστος οὕτως ἐκτίθεται ἐν τῷι πρώτωι τῆς Φυσικῆς ἱστορίας [Phys. Op. 7. D. 483] 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν· τὸ οὐκ ὂν οὐδέν· ἓν ἄρα τὸ ὄν', Εὔδημος δὲ οὕτως 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ἀλλὰ καὶ μοναχῶς λέγεται τὸ ὄν· ἓν ἄρα τὸ ὄν'. τοῦτο δὲ εἰ μὲν ἀλλαχοῦ που γέγραφεν οὕτως σαφῶς Εὔδημος, οὐκ ἔχω λέγειν· ἐν δὲ τοῖς Φυσικοῖς [fr. 11 Sp.] περὶ Παρμενίδου τάδε γράφει, ἐξ ὧν ἴσως συναγαγεῖν τὸ εἰρημένον δυνατόν· 'Π. δὲ οὐ φαίνεται δεικνύειν ὅτι ἓν τὸ ὄν, οὐδὲ εἴ τις αὐτῶι συγχωρήσειε μοναχῶς λέγεσθαι τὸ ὄν, εἰ μὴ τὸ ἐν τῶι τί κατηγορούμενον ἑκάστου ὥσπερ τῶν ἀνθρώπων ὁ ἄνθρωπος. καὶ ἀποδιδομένων τῶν λόγων καθ' ἕκαστον ἐνυπάρξει ὁ τοῦ ὄντος λόγος ἐν ἅπασιν εἷς καὶ ὁ αὐτὸς ὥσπερ καὶ ὁ τοῦ ζώιου ἐν τοῖς ζώιοις. ὥσπερ δὲ εἰ πάντα εἴη τὰ ὄντα καλὰ καὶ μηθὲν εἴη λαβεῖν ὃ οὐκ ἔστι καλόν, καλὰ μὲν ἔσται πάντα, οὐ μὴν ἕν γε τὸ καλὸν ἀλλὰ πολλά (τὸ μὲν γὰρ χρῶμα καλὸν ἔσται τὸ δὲ ἐπιτήδευμα τὸ δὲ ὁτιδήποτε), οὕτω δὴ καὶ ὄντα μὲν πάντα ἔσται, ἀλλ' οὐχ ἓν οὐδὲ τὸ αὐτό· ἕτερον μὲν γὰρ τὸ ὕδωρ, ἄλλο δὲ τὸ πῦρ. Παρμενίδου μὲν οὖν <οὐκ ἂν> ἀγασθείη τις ἀναξιοπίστοις ἀκολουθήσαντος λόγοις καὶ ὑπὸ τοιούτων ἀπατηθέντος, ἃ οὔπω τότε διεσαφεῖτο (οὔτε γὰρ τὸ πολλαχῶς ἔλεγεν οὐδείς, ἀλλὰ Πλάτων πρῶτος τὸ δισσὸν εἰσήγαγεν, οὔτε τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός)· φαίνεταί τε ὑπὸ τούτων διαψευσθῆναι. ταῦτα δὲ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἀντιλογιῶν ἐθεωρήθη καὶ τὸ συλλογίζεσθαι· οὐ γὰρ συνεχωρεῖτο, εἰ μὴ φαίνοιτο ἀναγκαῖον. οἱ δὲ πρότερον ἀναποδείκτως ἀπεφαίνοντο'.

cu totul, pentru celălalt totul e mărginit, «deopotrivă cumpănit față de mijloc» [B 8, 44].

28. SIMPL., *Phys.*, 115, 11 După spusa lui Alexandru, raționamentul lui Parmenides e redat de Theofrast în această formă, în cea dintâi carte a *Istoriei naturale* [*Phys. op.*, 7 D. 483]: «ce-i afară de ființă e neființă; neființa nu e nimic, ființa e daruna»; iar de Eudemos: «ce-i afară de ființă e neființă, despre ființă se vorbește la singular, ființa e dar una». Dacă Eudemos a scris lucrulacesta lămurit în vreun alt loc, n-aș putea spune; în *Fizică* [fr. 11 Sp.] scrie însă despre Parmenides cele ce urmează, din care ar fi poate cu putință să se scoată formula amintită: «Parmenides nu pare a fi dovedit că ființa e una, – chiar admițând cu el că despre ființă se vorbește la singular, – ci numai că unic e ceea ce se spune despre fiece lucru sub raportul naturii lui: bunăoară, în cazul oamenilor, omul. Astfel, dacă am considera predicatul fiecărui lucru în parte, am găsi că una și aceeași e în toate ideea ființei, așa cum, laanimale, una și aceeași e ideea de animal. După cum, prin urmare, dacă toate ființele ar fi frumoase și nu s-ar găsi nimic care să nu fie frumos, s-ar chema că frumoase sunt toate, dar nu și că frumosul e unu, ci multiplu (putând fi frumoasă o culoare, o deprindere sau orice altceva), tot astfel despre lucrurile toate se va putea spune că au ființă, dar nu una și aceeași ființă: căci una e apa și alta e focul. Că Parmenides a urmat un raționament nevrednic de crezare și s-a lăsat amăgit de el, nimeni nu trebuie să se mire, câtă vreme lucrurile acestea nu erau bine lămurite (nu se ajunsese să se vorbească de pluralitate, – Platon fiind cel dintâi care a introdus ideea dualității, – nici de esență, nici de accident): tocmai ceea ce pare să-l fi indus în eroare. Asemenea probleme, ca și arta raționamentului, au ajuns a fi gândite teoretic abia după multe afirmații și contraziceri: nimeni, într-adevăr, n-ar mai fi admis ceva care, logic, nu i s-ar fi părut necesar. Cei vechi, în schimb, afirmau fără să și dovedească».

29. AËT., I 24, 1 (D. 320) Π. καὶ Μέλισσος ἀνήιρουν γένεσιν καὶ φθορὰν διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον.

30. AMMON., De interpr., p. 133, 16 Busse πρῶτον μὲν γάρ, ὡς ὁ Τίμαιος [p. 27 C] ἡμᾶς ἐδίδαξε καὶ αὐτὸς ὁ Ἀριστοτέλης θεολογῶν ἀποφαίνεται καὶ πρὸ τούτων ὁ Π., οὐχ ὁ παρὰ Πλάτωνι μόνον [p. 137 A], ἀλλὰ καὶ ὁ ἐν τοῖς οἰκείοις ἔπεσιν, οὐδέν ἐστι παρὰ τοῖς θεοῖς οὔτε παρεληλυθὸς οὔτε μέλλον, εἴ γε τούτων μὲν ἑκάτερον οὐκ ὄν, τὸ μὲν οὐκέτι τὸ δὲ οὔπω, καὶ τὸ μὲν μεταβεβληκὸς τὸ δὲ πεφυκὸς μεταβάλλειν, τὰ δὲ τοιαῦτα τοῖς ὄντως οὖσι καὶ μεταβολὴν οὐδὲ κατ' ἐπίνοιαν ἐπιδεχομένοις προσαρμόττειν ἀμήχανον.

31. AËT., I 7, 26 (D. 303) Π. τὸ ἀκίνητον καὶ πεπερασμένον σφαιροειδές [sc. θεὸν εἶναι].

32. — I 25, 3 (D. 321) Π. καὶ Δημόκριτος πάντα κατ' ἀνάγκην· τὴν αὐτὴν δὲ εἶναι εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν καὶ κοσμοποιόν.

33. CLEM., Protr., 5, 64 (I 49, 2 St.) Π. δὲ ὁ Ἐλεάτης θεοὺς εἰσηγήσατο πῦρ καὶ γῆν.

34. PLUT., Adv.Colot., 13, p. 1114D ὁ δ' [*Parmenides*] ἀναιρεῖ μὲν οὐδετέραν φύσιν [sc. τῶν νοητῶν καὶ δοξαστῶν], ἑκατέραι δ' ἀποδιδοὺς τὸ προσῆκον εἰς μὲν τὴν τοῦ ἑνὸς καὶ ὄντος ἰδέαν τίθεται τὸ νοητόν, ὃν μὲν ὡς ἀίδιον καὶ ἄφθαρτον, ἓν δ' ὁμοιότητι πρὸς αὐτὸ καὶ τῶι μὴδέχεσθαι διαφορὰν προσαγορεύσας, εἰς δὲ τὴν ἄτακτον καὶ φερομένην τὸ αἰσθητόν, ὧν καὶ κριτήριον ἰδεῖν ἔστιν 'ἠμὲν ... ἦτορ' [B 1, 29] τοῦ νοητοῦ καὶ κατὰ ταὐτὰ ἔχοντος ὡσαύτως ἁπτόμενον 'ἠδὲ ... ἀληθής' [B 1, 30] διὰ τὸ παντοδαπὰς μεταβολὰς καὶ πάθη καὶ ἀνομοιότητας δεχομένοις ὁμιλεῖν πράγμασι. SIMPL.,

29. AËT., I 24, 1 (D. 320) **Parmenides și Melissos suprimau nașterea și pieirea, întrucât credeau că totul e nemișcat.**

30. AMMON., *De interpr.*, p. 133, 16 Busse. **În primul rând, așa cum ne-a învățat *Timaios* [p. 27 C] și cum arată și Aristotel, vorbind de divinitate[22], iar înaintea tuturor Parmenides, – nu numai al lui Platon [p. 137 A], dar și acel al propriilor sale versuri, – nu există pentru zei trecut și viitor, de vreme ce nici unul din acestea n-are ființă (unul nu mai e, altul nu-i încă; unul e schimbare săvârșită, altul, ce va să vie): ceea ce face că asemenea concepte nu se potrivesc celor ce există cu adevărat și nu admit nici măcar ideea unei schimbări[23].**

31. AËT., I 7, 26 (D. 303) **Parmenides zice că sfera nemișcată și mărginită [*e divinitatea*].**

32. — I 25, 3 (D. 321) **Parmenides și Democrit fac să decurgă totul potrivit necesității: aceasta e pentru ei și soartă și dreptate și providență și făcătoare a Universului.**

33. CLEM., *Protr.*, 5. 64 (I 49, 2 St.) **Parmenides eleatul a introdus ca zei focul și pământul.**

34. PLUT., *Adv. Colot.*, 13, p. 1114 D **Acesta [*Parmenides*] nu tăgăduiește nici una din cele două naturi [*a lucrurilor inteligibile și a celor părelnice*], ci, dând fiecăreia ce i se cuvine, pune inteligibilul în ideea unității și a ființei (ființă, întrucât veșnică și nepieritoare; una, din pricina identității cu sine și pentru că nu suferă variații), iar sensibilul în aceea a dezordinii și a mișcării. Un criteriu al adevărului acestora se poate vedea în versul: «nezdruncinatul suflet al binerotunjitului Adevăr» [B 1, 29], care privește inteligibilul și, totodată, și «părerile muritorilor, în care nu-i credință adevărată» [B 1, 30], din pricina atingerii cu lucruri ce încearcă tot soiul de schimbări, de suferințe și de nepotriviri.**

Phys., 39, 10 δοξαστὸν οὖν καὶ ἀπατηλὸν τοῦτον καλεῖ τὸν λόγον οὐχ ὡς ψευδῆ ἁπλῶς, ἀλλ' ὡς ἀπὸ τῆς νοητῆς ἀληθείας εἰς τὸ φαινόμενον καὶ δυκοῦν τὸ αἰσθητὸν ἐκπεπτωκότα. SIMPL., Phys., p. 25, 15 καὶ τῶν πεπερασμένας [sc. ἀρχὰς λεγόντων] οἱ μὲν δύο, ὡς Π. ἐν τοῖς πρὸς δόξαν, πῦρ καὶ γῆν ἢ μᾶλλον φῶς καὶ σκότος.

35. ARISTOT., De gen. et corr., B 3. 330 b 13 οἱ δ' εὐθὺς δύο ποιοῦντες ὥσπερ Π. πῦρ καὶ γῆν, τὰ μεταξὺ μείγματα ποιοῦσι τούτων οἷον ἀέρα καὶ ὕδωρ. B 9. 336a 3 ἐπειδὴ γὰρ πέφυκεν, ὥς φασι, τὸ μὲν θερμὸν διακρίνειν τὸ δὲ ψυχρὸν συνιστάναι καὶ τῶν ἄλλων ἕκαστον τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, ἐκ τούτων λέγουσι καὶ διὰ τούτων ἅπαντα τἆλλα γίγνεσθαι καὶ φθείρεσθαι. CIC. Ac. II 37, 118 *P. ignem qui moveat, terram quae ab eo formetur.* [după Theofr., Phys. op.: cf. A 23].

36. AËT. II 1, 2 (D. 327) Π., Μέλισσος ... ἕνα τὸν κόσμον. 4, 11 (D. 332) Ξενοφάνης, Π., Μέλισσος ἀγένητον καὶ ἀίδιον καὶ ἄφθαρτον τὸν κόσμον.

37. — II 7, 1 (D. 335 cf. B 12) Π. στεφάνας εἶναι περιπεπλεγμένας, ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ· μικτὰς δὲ ἄλλας ἐκ φωτὸς καὶ σκότους μεταξὺ τούτων. καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν, ὑφ' ὧι πυρώδης στεφάνη, καὶ τὸ μεσαίτατον πασῶν στερεόν, <ὑφ' ὧι> πάλιν πυρώδης [sc. στεφάνη]. τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἁπάσαις <ἀρχήν> τε καὶ <αἰτίαν> κινήσεως καὶ γενέσεως ὑπάρχειν, ἥντινα καὶ δαίμονα κυβερνῆτιν [cf. B 12, 3] καὶ κληιδοῦχον [B 1, 14] ἐπονομάζει Δίκην τε καὶ Ἀνάγκην [B 8, 30; 10, 6]. καὶ τῆς μὲν γῆς ἀπόκρισιν εἶναι τὸν ἀέρα διὰ τὴν βιαιοτέραν αὐτῆς ἐξατμισθέντα πίλησιν, τοῦ δὲ πυρὸς ἀναπνοὴν τὸν ἥλιον καὶ

SIMPL., *Phys.*, 39, 10 Raționamentul acesta îl numește «părelnic» și «înșelător», ca unul ce n-ar fi cu totul mincinos, ci numai căzut din domeniul adevărului inteligibil în acel al sensibilului, aparent și supus părerii. SIMPL., *Phys.*, 25, 15 Din cei ce socot că [*elementele*] ar fi mărginite la număr, unii pomenesc două, ca Parmenides, când vorbește despre părere: focul și pământul sau, mai bine zis, lumina și întunericul.

35. ARISTOT., *De gen. et. corr.*, B 3.330 b 13 Cei ce nu se sfiesc să susțină existența a două principii, ca Parmenides focul și pământul, consideră elementele intermediare ca amestecuri ale acestora, cum ar fi aerul și apa. – B 9.336 a 3 De vreme ce, așa cum pretind ei, caldul are darul să despartă și recele să unească[24], iar din celelalte unul e activ și altul pasiv, ajung să afirme că din acestea și prin acestea se nasc și pier toate celelalte. CIC., *Acad.*, II 37, 118 Pentru Parmenides, focul determină mișcarea, iar pământul e creat de el... [după Theofr., *Phys. op.*: cf. A 23].

36. AËT., II 1, 2 (D. 327) Parmenides și Melissos *pretind* că Universul e unul – 4, 11 (D. 332) Xenofanes, Parmenides, Melissos susțin că Universul e nenăscut, veșnic și nepieritor.

37. — II 7, 1 (D. 335; cf. B 12) Parmenides zice că ar exista coroane[25] concentrice dispuse alternativ, una de element rar, alta de element des; printre ele[26], altele formate dintr-un amestec de lumină și întuneric. Ceea ce le cuprinde pe toate, în chip de zid, e solid, având dedesubt o coroană de foc. Dintre cununile făcute din amestec, cea mai din mijloc e pentru toate <începutul> și <cauza[27]> mișcării și a nașterii: de aceea o și cheamă «divinitate cârmuitoare» [cf. B 12, 3] și «păstrătoare a cheilor» [B 1, 14], Dreptate și Necesitate [B 8, 30; 10, 6]. Mai spune că aerul ar fi o secreție a Pământului, emanată din pricina unei apăsări mai puternice decât el, și că Soarele și Calea Laptelui ar fi exhalații ale focului

τὸν γαλαξίαν [cf. B 11, 2] κύκλον. συμμιγῆ δ' ἐξ ἀμφοῖν εἶναι τὴν σελήνην, τοῦ τ' ἀέρος καὶ τοῦ πυρός. περιστάντος δ' ἀνωτάτω πάντων τοῦ αἰθέρος ὑπ' αὐτῶι τὸ πυρῶδες ὑποταγῆναι τοῦθ' ὅπερ κεκλήκαμεν οὐρανόν, ὑφ' ὧι ἤδη τὰ περίγεια. CIC., De nat. deor., I 11, 28 *nam P. quidem commenticium quiddam: coronae simile efficit* (στεφάνην appellat), *continentem ardorum <et> lucis orbem qui cingit caelum, quem appellat deum; in quo neque figuram divinam neque sensum quisquam suspicari potest, multaque eiusdem <modi> monstra: quippe qui Bellum, qui Discordiam, qui Cupiditatem* [B 13] *ceteraque generis eiusdem ad deum revocat, quae vel morbo vel somno vel oblivione vel vetustate delentur; eademque de sideribus, quae reprehensa in alio iam in hoc omittantur.*

38. AËT. II 11, 4 (D. 340) Π., Ἡράκλειτος, Στράτων, Ζήνων πύρινον εἶναι τὸν οὐρανόν.

39. — II 13, 8 (D. 342) Π. καὶ Ἡράκλειτος πιλήματα πυρὸς τὰ ἄστρα.

40. ANONYM. BYZANT., ed. Treu p. 52, 19 [Isag. in Arat., II 14 p. 318, 15 Maass] καὶ τῶν μὲν ἀπλανῶν τῶν σὺν τῶι παντὶ περιαγομένων τὰ μὲν ἀκατονόμαστα ἡμῖν καὶ ἀπερίληπτα, ὡς καὶ Π. ὁ φυσικὸς εἴρηκε, τὰ δὲ κατωνομασμένα ἕως ἕκτου μεγέθους χίλιά εἰσι κατὰ τὸν Ἄρατον.

40a. AËT. II 15, 4 (D. 345) Π. πρῶτον μὲν τάττει τὸν Ἑῷον, τὸν αὐτὸν δὲ νομιζόμενον ὑπ' αὐτοῦ καὶ Ἕσπερον, ἐν τῶι αἰθέρι· μεθ' ὃν τὸν ἥλιον, ὑφ' ὧι τοὺς ἐν τῶι πυρώδει ἀστέρας, ὅπερ οὐρανὸν καλεῖ [B 10, 5]. DIOG. LAËRT., VIII 14 (Pythagoras) πρῶτόν τε Ἕσπερον καὶ Φωσφόρον τὸν αὐτὸν εἰπεῖν, ὥς φησι Παρμενίδης. [Cf. A 1 §23].

[B 11, 2]. La rândul ei, Luna e un amestec al acestor două elemente, aerul și focul. Dedesubtul eterului, care ocupă locul cel mai înalt, e așezată regiunea de foc căreia i s-a zis «cer»; sub aceasta, ceea ce împresoară Pământul. CIC., *De nat. deor.*, I 11, 28... barem Parmenides, ceva pe de-a-ntregul născocit: un brâu de foc asemenea unei cununi (îi și zice στεφάνη) și un cerc de lumină ce încinge cerul, căruia îi dă numele de «zeu», închipuire în care nu se poate descoperi nici vreun chip divin, nici vreo noimă. Apoi alte multe asemenea ciudățenii, ca unul pentru care Războiul, Dihonia, Dragostea [B 13] și altele de același soi au ceva comun cu divinitatea, – porniri pe care le șterg fie boala, fie somnul, fie uitarea, fie vremea. Observații de același fel ar fi de făcut și despre stele; cum însă asemenea critici am mai ridicat în legătură cu alt filosof, le las acum la o parte.

38. AËT., II 11, 4 (D. 340) Parmenides, Heraclit, Straton și Zenon spun că cerul ar fi de foc.

39. — II 13, 8 (D. 342) Parmenides și Heraclit spun că stelele ar fi [*masse de*] foc condensat.

40. ANONYM. BYZANT., ed. Treu p. 52, 19 [*Isag. in Arat.*, II 14, p. 318, 15 Maass] Dintre stelele fixe, ce se învârtesc cu tot Universul, unele, cum a spus și Parmenides naturalistul, n-au nume și nici nu pot fi cunoscute de noi; cele ce au nume, până la mărimea a șasea[28], sunt în număr de o mie, după Aratos.

40a. AËT., II 15, 4 (D. 345) În eter, Parmenides situează în primul rând Luceafărul de dimineață (*Heoios*), care pentru el e tot una cu Luceafărul de seară (*Hesperos*): peurmă Soarele, sub care situează stelele, în zona de foc pe care o numește cer [B 10, 5] – DIOG. LAËRT., VIII 14 Cum spune Parmenides, (Pythagoras) a fost cel dintâi care a susținut că Luceafărul de seară și Luceafărul de dimineață sunt unul și același [cf. A 1 §23].

12. 1–3 SIMPL., Phys., 39, 12 (după fr. B 8, 61) μετ' ὀλίγα δὲ πάλιν περὶ τῶν δυεῖν στοιχείων εἰπὼν ἐπάγει καὶ τὸ ποιητικὸν λέγων οὕτως 'αἱ γὰρ ... κυβερνᾶι'. 2–6 Ibid., 31, 10 καὶ ποιητικὸν δὲ αἴτιον οὐ σωμάτων μόνον τῶν ἐν τῆι γενέσει ἀλλὰ καὶ ἀσωμάτων τῶν τὴν γένεσιν συμπληρούντων σαφῶς παραδέδωκεν ὁ Π. λέγων· 'αἱ δ' ἐπὶ ... θηλυτέρωι'. 4 Ibid. 34, 14 καὶ ποιητικὸν αἴτιον ἐκεῖνος μὲν ἓν κοινὸν τὴν ἐν μέσωι πάντων ἱδρυμένην καὶ πάσης γενέσεως αἰτίαν δαίμονα τίθησιν. Cf. A 37.

αἱ γὰρ στεινότεραι πλῆντο πυρὸς ἀκρήτοιο,
αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα·
ἐν δὲ μέσωι τούτων δαίμων ἣ πάντα κυβερνᾶι·
πάντα γὰρ <ἣ> στυγεροῖο τόκου καὶ μίξιος ἄρχει
πέμπους' ἄρσενι θῆλυ μιγῆν τό τ' ἐναντίον αὖτις
ἄρσεν θηλυτέρωι.

13. PLATON, Sympos., 178 B Π. δὲ τὴν γένεσιν λέγει 'πρώτιστον ... πάντων'. ARISTOT., Metaph., A 4 p. 984 a 23 ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχὴν οἷον καὶ Π.· οὗτος γὰρ κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν 'πρώτιστον μέν, φησίν, Ἔρωτα ... πάντων'. PLUT., Amat., 13 p. 756 F διὸ Π. μὲν ἀποφαίνει τὸν Ἔρωτα τῶν Ἀφροδίτης ἔργων πρεσβύτατον ἐν τῆι κοσμογονίαι γράφων 'πρώτιστον ... πάντων'. SIMPL., Phys., 39, 18 [după B 12, 3] ταύτην καὶ θεῶν αἰτίαν εἶναί φησι λέγων 'πρώτιστον ... πάντων' κτλ. καὶ τὰς ψυχὰς πέμπειν ποτὲ μὲν ἐκ τοῦ ἐμφανοῦς εἰς τὸ ἀειδές, ποτὲ δὲ ἀνάπαλίν φησιν.

πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων ...

14. PLUT., Adv. Colot., 15 p. 1116 A οὐδὲ γὰρ ὁ πῦρ μὴ λέγων

rea lucrurilor susceptibile de naștere și pieire, până la mădularele viețuitoarelor.

12. 1–3 SIMPL., *Phys.*, 39, 12 (*după B* 8, 61) Ceva mai departe, după ce vorbește din nou de cele două elemente, continuă amintind și cauza eficientă în chipul următor: căci «<cununile> mai înguste...». 2–6 *Ibid.*, 31, 10 Parmenides a arătat limpede cauza eficientă – nu numai a corpurilor supuse nașterii, dar și a lucrurilor incorporale, ce determină nașterea – acolo unde spune: «cele ce vin după ele...» 4 *Ibid.*, 34, 14 cauză eficientă unică și comună e, pentru el, *zeița ce stă în mijlocul a tot ce există* și care e cauza oricărei nașteri. Cf. A 37.

«Căci <cununile> mai înguste[64] umplutu-s-au cu foc curat, cele ce vin după ele, cu beznă în care se amestecă și o parte de foc; în mijlocul lor stă zeița ce totul călăuzește[65]: pretutindeni cârmuiește cumplita naștere și împreunarea, mânând femeia să se împerecheze cu bărbatul și dimpotrivă, bărbatul cu femeia».

13. PLATON, *Sympos.*, 178 B Despre facere, iată ce zice Parmenides: «înainte de toți zeii...». ARISTOT., *Metaph.*, A 4. 984 a 23 S-ar putea crede că cel dintâi care a căutat așa ceva a fost Hesiod[66] și cine va mai fi făcut din iubire sau dorință începutul celor ce există, cum face Parmenides. Într-adevăr, expunând facerea Totului, acesta zice: «înainte de toți zeii...» SIMPL., *Phys.*, 39, 18 [*după B* 12, 3]... aceasta e pentru el și i născătoarea zeilor, acolo unde zice: «înainte de toți zeii...» și cea care mână sufletele, când din lumea văzută în cea nevăzută, când dimpotrivă...[67].

«Înainte de toți zeii a dat la iveală Iubirea».

14. PLUT., *Adv. Colot.*, 15 p. 1116 A Nici cel ce refuză fierului

εἶναι τὸν πεπυρωμένον σίδηρον ἢ τὴν σελήνην ἥλιον, ἀλλὰ κατὰ Παρμενίδην

νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς
ἀναιρεῖ σιδήρου χρῆσιν ἢ σελήνης φύσιν.

15. PLUT., De fac. lun., 16, 6 p. 929 A τῶν ἐν οὐρανῷ τοσούτων τὸ πλῆθος ὄντων μόνη φωτὸς ἀλλοτρίου δεομένη περίεισι [luna] κατὰ Π.

αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο.

15a. SCHOL. BASILII 25, ed. Pasquali *Gött.* Nachr. 1910 p. 201, 2 [la pasajul ἐὰν ὑποθῆις ἑαυτῷ ὕδωρ εἶναι τὸ ὑποβεβλημένον τῆς γῆς] Π. ἐν τῆι στιχοποιίαι ὑδατόριζον εἶπεν τὴν γῆν.

16. ARISTOT., Metaph., Γ 5. 1009b 21 cf. A 46

ὡς γὰρ ἕκαστοτ' ἔχει κρᾶσιν μελέων πολυπλάγκτων,
τὼς νόος ἀνθρώποισι παρίσταται· τὸ γὰρ αὐτό
ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα.

17. GALEN., In Epid., VI 48 (XVII A 1002 K.) τὸ μέντοι ἄρρεν ἐν τῶι δεξιῶι μέρει τῆς μήτρας κυΐσκεσθαι καὶ ἄλλοι τῶν παλαιοτάτων ἀνδρῶν εἰρήκασιν. ὁ μὲν γὰρ Π. οὕτως ἔφη·

δεξιτεροῖσιν μὲν κούρους, λαιοῖσι δὲ κούρας ...

18. 1–6 CAEL. AURELIANUS, Morb. chron., IV 9 p. 116 Sichard. (Bas. 1529)

Parmenides libris quos de natura scripsit, eventu inquit conceptionis molles aliquando seu subactos homines generari. cuius quia graecum est epigramma, et hoc versibus intimabo. latinos enim ut potui simili modo composui, ne linguarum ratio

înfierbântat calitatea de foc, sau Lunii pe aceea de Soare, făcând din ea, cu Parmenides,

«o lumină străină, ce lucește noaptea, rătăcitoare înjurul Pământului»[68], nu tăgăduiește folosul fierului ori natura Lunii...

15. PLUT., *De fac. lun.*, 16, 6 p. 929 A Din mulțimea atât de mare a corpurilor cerești, singură <Luna> se rotește având nevoie de lumină străină, după Parmenides:

«veșnic cătând spre razele Soarelui»[69].

15a. SCHOL. BASILII 25, ed. Pasquali, *Gött. Nachr.*, 1910, p. 201, 2 [*la pasajul*: «dacă-ți închipui că ceea ce se găsește sub pământ e apă»] Parmenides, în versurile lui, zice despre Sământ că e *înrădăcinat în apă*...

16. ARISTOT., *Metaph.*, Γ 5. 1009 b 21. Cf. A 46

«Așa[70] cum e alcătuit în fiecare[71] amestecul[72] organelor multînșelătoare <ale simțurilor>, așa se înfățișează gândul la oameni: căci, la aceștia, ceea ce gândește e – în toți și în fiecare – același lucru: alcătuirea organelor; ceea ce trece peste, e chiar gândirea»[73].

17. GALEN., *In Epid.*, VI, 48 (XVII A 1002 K) Că copilul de sex bărbătesc s-ar zămisli în partea dreaptă a uterului, au spus-o și alții, dintre cei mai vechi. Parmenides se exprimă astfel:

«în partea dreaptă băieții, în partea stângă fetele...»[74].

18. 1–6 CAEL. AURELIANUS, *Morb. chron.*, IV 9, p. 116 Sichard (Bas., 1529)

În cărțile pe care le-a scris despre natură, Parmenides zice că întâmplarea, care-și are rolul ei în orice zămislire, face să se nască uneori bărbați molești și afemeiați. Cum vorba asta o spune într-o poezie greacă, voi reda-o și eu în versuri. Le-am compus, în latinește, cât am putut mai asemănătoare ca formă, ca să nu în-

misceretur. 'femina ... sexum'. vult enim seminum praetermaterias esse virtutes (cf. δυνάμεις B 9, 2), *quae si se ita miscuerint, ut eiusdem corporis faciant unam, congruam sexui generent voluntatem. si autem permixto semine corporeo virtutes separatae permanserint, utriusque veneris natos adpetentia sequatur.*

femina virque simul Veneris cum germina miscent,
venis informans diverso ex sanguine virtus
temperiem servans bene condita corpora fingit.
nam si virtutes permixto semine pugnent
nec faciant unam permixto in corpore, dirae
nascentem gemino vexabunt semine sexum.

19. SIMPL., De caelo, 558, 8 παραδοὺς δὲ τὴν τῶν αἰσθητῶν διακόσμησιν ἐπήγαγε πάλιν·

οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε καί νυν ἔασι
καὶ μετέπειτ' ἀπὸ τοῦδε τελευτήσουσι τραφέντα·
τοῖς δ' ὄνομ' ἄνθρωποι κατέθεντ' ἐπίσημον ἑκάστωι.

20. HIPPOL., Ref., V 8 p. 97, 2 W. μικρὰ, φησίν [un gnostic], ἐστὶ τὰ μυστήρια τὰ τῆς Περσεφόνης κάτω, περὶ ὧν μυστηρίων καὶ τῆς ὁδοῦ τῆς ἀγούσης ἐκεῖ οὔσης πλατείας καὶ εὐρυχώρου καὶ φερούσης τοὺς ἀπολλυμένους ἐπὶ τὴν Περσεφόνην <...>. καὶ ὁ ποιητὴς δέ φησιν·

αὐτὰρ ὑπ' αὐτήν ἐστιν ἀταρπιτὸς ὀκρυόεσσα,
κοίλη, πηλώδης· ἡ δ' ἡγήσασθαι ἀρίστη
ἄλσος ἐς ἱμερόεν πολυτιμήτου Ἀφροδίτης.

curc spiritul celor două limbi: «când femeia și bărbatul...». Părerea lui e dar că sămânța, pe lângă substanța din care e alcătuită, are și anumite impulsuri [cf. δυνάμεις în fr. B 9, 2], care, dacă se amestecă așa fel încât să dea pentru fiecare corp un singur impuls, au ca rezultat o voință potrivită cu sexul; dimpotrivă, dacă în amestecul de semințe trupești impulsurile rămân despărțite, noii născuți sunt împinși de dorințe spre amândouă sexele.

«Când femeia și bărbatul își amestecă sămânța dragostei, impulsul care o face să se nască în vine din soiuri de sânge diferite, plăsmuiește, dacă amestecul e izbutit, trupuri bine clădite. Dacă însă, în sămânța amestecată, impulsurile se războiesc fără să se contopească în amestecata alcătuire a trupului, amarnic chinui-vor copilul nou născut, din vina îndoitei semințe...».

19. SIMPL., *De caelo*, 558, 8... după ce a expus alcătuirea celor sensibile, din nou trece mai departe:

«Astfel dar, potrivit părerii, au luat ființă lucrurile acestea, și acum sunt și odată vor pieri, după ce vor fi crescut; iar oamenii le-au dat nume, ca să fie semn fiecăruia...»[75].

FRAGMENTE ÎNDOIELNICE

20. HIPPOL., *Ref.*, V 8, p. 97, 2 W. «Puțin lucru [*zice un gnostic*] sunt misteriile Persefoneisubpământene, misterii despre care – ca și despre calea ce duce acolo, care e largă și întinsă» și care poartă pe morți spre Persefona – poetul[76] zice:

«sub ea e însă o cărare înfricoșătoare, adâncă, noroioasă; aceasta e cea mai bună <*din câte duc*> spre dumbrava încântătoare a mult cinstitei Afrodite...».

21. AËT., II 30, 4 (D 361b 24) περὶ ἐμφάσεως σελήνης, διὰ τί γεώδης φαίνεται ... Π. διὰ τὸ παραμεμῖχθαι τῶι περὶ αὐτὴν πυρώδει τὸ ζοφῶδες· ὅθεν ψευδοφανῆ τὸν ἀστέρα καλεῖ. [cf. B 14; epitetul e împrumutat de la Theofrast].

22. SUIDAS s. v. ὡς: λίαν. Παρμενίδης· ᾽θαυμασίως ὡς δυσανάπειστον᾽ [= PLATON, Parm., p. 135 A].

23. — s.v. μακάρων νήσοι: ἡ ἀκρόπολις τῶν ἐν Βοιωτίαι Θηβῶν τὸ παλαιόν, ὡς Παρμενίδης.

24. SUETONIUS (Miller, Mél. 417) Τελχῖνες ... τούτους οἱ μὲν θαλάσσης παῖδάς φασι, Παρμενίδης δ᾽ ἐκ τῶν ᾽Ακταίωνος κυνῶν γενέσθαι μεταμορφωθέντων ὑπὸ Διὸς εἰς ἀνθρώπους.

25. STOB., Ecl., I 144, 19 W. ἀλλ᾽ ὄγε πάντοθεν ἶσος κτλ. [= Empedocles, fr. 28 Diels].

FRAGMENTE NEADEVĂRATE

21. AËT., II 30, 4 (D. 361 b 24)... **despre înfățișarea Lunii, – de ce pare pământie, – Parmenides zice că e din pricină că în elementul igneu care o înconjoară e amestecat și element întunecos; motiv pentru care o și numește: <*astru*> cu lumină înșelătoare...** [cf. B 14; epitetul e împrumutat de la Theofrast].

22. SUIDAS s. v. ὡς: λίαν ... **Parmenides: «uimitor de anevoie de convins»** [= PLATON, *Parm.*, 135 A].

23. — s.v. *Insulele fericiților:* **în vechime citadela orașului Theba din Beoția, după spusa lui Parmenides.**

24. SUETONIUS (Miller, *Mél.*, 417) **Telchini... despre aceștia unii zic că ar fi fii ai mării; Parmenides, însă, că ar fi urmașii câinilor lui Acteon, transformați de Zeus în oameni...**

25. STOB., *Ecl.*, I 144, 19 W. **Dar acesta era din toate părțile deopotrivă...** [= Empedocles, fr. 28 Diels].

ZENON

1. DIOG. LAËRT., IX 25 şi urm. (25) Ζήνων Ἐλεάτης. τοῦτον Ἀπολλόδωρός φησιν εἶναι ἐν Χρονικοῖς [F GrHist. 244 F 30 II 1028] φύσει μὲν Τελευταγόρου, θέσει δὲ Παρμενίδου (τὸν δὲ Παρμενίδην Πύρητος). περὶ τούτου καὶ Μελίσσου Τίμων φησὶ ταῦτα [fr. 45 D.]·

ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνόν
Ζήνωνος πάντων ἐπιλήπτορος ἠδὲ Μέλισσον
πολλῶν φαντασμῶν ἐπάνω, παύρων γε μὲν ἥσσω ...

ὁ δὲ Ζήνων διακήκοε Παρμενίδου καὶ γέγονεν αὐτοῦ παιδικά. καὶ εὐμήκης ἦν, καθά φησι Πλάτων ἐν τῷι Παρμενίδηι [127 B cf. A 11]. ὁ δ' αὐτὸς ἐν τῷι Σοφιστῆι [p. 215 A] <καὶ ἐν τῷι Φαίδρωι [p. 261 D] αὐτοῦ μέμνηται> καὶ Ἐλεατικὸν Παλαμήδην αὐτὸν καλεῖ. φησὶ δ' Ἀριστοτέλης [fr. 65 cf. A 10] εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς, ὥσπερ Ἐμπεδοκλέα ῥητορικῆς. (26) γέγονε δ' ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίαι καὶ ἐν πολιτείαι· φέρεται γοῦν αὐτοῦ βιβλία πολλῆς συνέσεως γέμοντα. καθελεῖν δὲ θελήσας Νέαρχον τὸν τύραννον (οἱ δὲ Διομέδοντα) συνελήφθη, καθά φησιν Ἡρακλείδης ἐν τῆι Σατύρου ἐπιτομῆι [fr. 7 FHG III 169]. ὅτε καὶ ἐξεταζόμενος τοὺς συνειδότας καὶ περὶ τῶν ὅπλων ὧν ἤγεν εἰς Λιπάραν, πάντας ἐμήνυσεν αὐτοῦ τοὺς φίλους, βουλόμενος αὐτὸν ἔρημον καταστῆσαι· εἶτα περί τινων εἰπεῖν ἔχειν τινὰ <ἔφη> αὐτῶι πρὸς τὸ οὖς καὶ δακὼν οὐκ ἀνῆκεν ἕως ἀπεκεντήθη, ταὐτὸν Ἀριστογείτονι τῶι τυραννοκτόνωι παθών. (27) Δημήτριος δέ φησιν ἐν τοῖς

A) VIAȚA ȘI ÎNVĂȚĂTURA

VIAȚA

1. DIOG. LAËRT., IX 25 și urm. (25) Zenon eleatul. Despre acesta, în *Cronica* lui [FGr. Hist., 244 F 30, II 1028], Apollodoros spune că era fiul lui Teleutagoras, adoptat de Parmenides (la rându-i, fiul lui Pyres). În legătură cu el și cu Melissos, Timon scrie cele ce urmează [fr. 45 D.]: «marea, nebiruita tărie a lui Zenon cel în stare să afirme și să tăgăduiască[1], al tuturor mustrător; sau Melissos, care s-a dovedit mai presus de multe năluciri, mai prejos doar de câteva...».

Zenon l-a audiat dar pe Parmenides și a devenit iubitul lui. Era bine proporționat, după câte scrie Platon în dialogul *Parmenides* [125 B; cf. A 11]. Același autor, în *Sofistul* [p. 215 A] <și în *Faidros* [p. 261 D], pomenește de el>[2] numindu-l «un Palamede eleat». Aristotel [fr. 65; cf. A 10] spune despre el că ar fi fostnăscocitorul dialecticii, așa cum Empedocles a fost născocitorul retoricii. (26) S-a arătat bărbat de seamă și în filosofie și în politică; i se atribuie cărți pline de multă ascuțime. Voind să-l răstoarne pe tiranul Nearchos (alții zic pe Diomedon), a fost prins, după câte povestește Heracleides în *Prescurtarea* lui Satyros [fr. 7 F.H.G. III, 169]. Cu acea împrejurare, întrebat despre complici și despre armele transportate la Lipari, a pârât pe toți prietenii tiranului, cu gândul să-l lipsească de tovarăși; apoi, spunând că are să-i destăinuiască anumite lucruri la ureche și mușcându-i-o, nu i-a dat drumul până ce n-a fost străpuns, împărtășind soarta tiranicidului Aristogeiton. (27) În cartea-i despre *Omonimi*, Demetrios

Ὁμωνύμοις τὸν μυκτῆρα αὐτὸν ἀποτραγεῖν. Ἀντισθένης δὲ ἐν ταῖς Διαδοχαῖς [FHG III 182*] φησι μετὰ τὸ μηνῦσαι τοὺς φίλους ἐρωτηθῆναι πρὸς τοῦ τυράννου, εἴ τις ἄλλος εἴη· τὸν δὲ εἰπεῖν· 'σὺ ὁ τῆς πόλεως ἀλιτήριος', πρός τε τοὺς παρεστῶτας φάναι· 'θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν, ὧν νῦν ἐγὼ ὑπομένω, δουλεύετε τῶι τυράννωι', καὶ τέλος ἀποτραγόντα τὴν γλῶτταν προσπτύσαι αὐτῶι· τοὺς δὲ πολίτας παρορμηθέντας αὐτίκα τὸν τύραννον καταλεῦσαι. ταὐτὰ δὲ σχεδὸν οἱ πλείους λαλοῦσιν. Ἕρμιππος [fr. 30 FHG III 43] δέ φησιν εἰς ὅλμον αὐτὸν βληθῆναι καὶ κατακοπῆναι. (28) καὶ εἰς αὐτὸν ἡμεῖς εἴπομεν οὕτως. [Urmează o epigramă a lui Diogene].

γέγονε δὲ τά τε ἄλλα ἀγαθὸς ὁ Ζήνων, ἀλλὰ καὶ ὑπεροπτικὸς τῶν μειζόνων κατ' ἴσον Ἡρακλείτωι· καὶ γὰρ οὗτος τὴν πρότερον μὲν Ὑέλην, ὕστερον δὲ Ἐλέαν, Φωκαέων οὖσαν ἀποικίαν, αὐτοῦ δὲ πατρίδα, πόλιν εὐτελῆ καὶ μόνον ἄνδρας ἀγαθοὺς τρέφειν ἐπισταμένην ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας, οὐκ ἐπιδημήσας πώμαλα πρὸς αὐτούς, ἀλλ' αὐτόθι καταβιούς. (29) οὗτος καὶ τὸν Ἀχιλλέα πρῶτος λόγον ἠρώτησε· Φαβωρῖνος δέ φησι [fr. 39 FHG III 583.] Παρμενίδην καὶ ἄλλους συχνούς.

ἀρέσκει δ' αὐτῶι τάδε· κόσμους εἶναι κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν· γένεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων κατὰ μηδενὸς τούτων ἐπικράτησιν. τοῦτόν φασι λοιδορούμενον ἀγανακτῆσαι· αἰτιασαμένου δέ τινος φάναι· 'ἐὰν μὴ λοιδορούμενος προσποιῶμαι, οὐδ' ἐπαινούμενος αἰσθήσομαι'.

ὅτι δὲ γεγόνασι Ζήνωνες ὀκτώ, ἐν τῶι Κιτιεῖ [VII 35] διειλέγμεθα. ἤκμαζε δὲ οὗτος κατὰ τὴν ἑνάτην <καὶ ἑβδομηκοστὴν> ὀλυμπιάδα [464–46 a.C.1; cf. Apollodoros, FGr. Hist. 244, fr. 30 b, II 1028].

pretinde că i-ar fi retezat nasul. Antisthenes, în *Moșteniri* [F.H.G. III 182], scrie că, după ce denunțase pe prieteni, întrebat de tiran dacă mai era vreunul, ar fi răspuns: «tu, năpasta cetății», apoi, adresându-se celor de față: «dacă slujiți tiranului de teama celor ce mă așteaptă pe mine, mă mir de lașitatea voastră»; în sfârșit, retezându-și limba cu dinții, i-ar fi scuipat-o în față, după care, îmbărbătați, cetățenii ar fi ucis îndată pe tiran. Cam acestea se spun de cei mai mulți. Hermippos, în schimb [fr. 30 F.H.G., III 43], zice că ar fi fost vârât într-o piuă și zdrobit. (28) Despre el am scris cele ce urmează [*Urmează o epigramă a lui Diogene*].

Remarcabil a fost Zenon și în alte privințe, dar mai ales s-a arătat disprețuitor al celor mari pe potriva lui Heraclit. Acest om și-a iubit patria (numită mai întâi Yele, apoi Elea, colonie a foceenilor, cetate mică și în stare a produce numai oameni de ispravă) mai mult decât trufia atenienilor, de aceea n-a locuit câtuși de puțin printre ei, ci și-a petrecut viața in Elea[3]. (29) El a fost și cel ce a formulat pentru întâia oară argumentul lui Achille; Favorinos, în schimb [fr. 39, F.H.G., III 583. Cf. *supra*, p. 78], i-l atribuie lui Parmenides și mai multor altora.

Învățăturile propovăduite de el sunt cele ce urmează[4]: există lumi[5], vid nu există[6]; natura tuturor lucrurilor s-a format din cald și rece, uscat și umed[7], trecute unele prin stările celorlalte; obârșia oamenilor e pământul[8], iar sufletul un amestec al elementelor pomenite, în care nici unul nu precumpănește[9]. Se zice despre el că, ocărât de cineva, s-ar fi mâniat; cum i se făcea o vină din aceasta, ar fi răspuns: «dacă ocărât nu m-aș arăta supărat, lăudat ar trebui să rămân nesimțitor»[10].

Că au fost în totul opt Zenoni, am spus-o când am vorbit de Zenon cel din Kition [VII 35]. Cestălalt înflorea către cea de-a LXXIX-a olympiadă [464-461 a.C.; cf. Apollodoros, FGr. Hist. 244, fr. 30 b, II 1028].

2. SUIDAS Ζήνων Τελευταγόρου Ἐλεάτης φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόραι καὶ Δημοκρίτωι κατὰ τοὺς χρόνους· ἦν γὰρ ἐπὶ τῆς οη ὀλυμπιάδος [468–465], μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν Ἔριδας, Ἐξήγησιν τῶν Ἐμπεδοκλέους, Πρὸς τοὺς φιλοσόφους, Περὶ φύσεως [din Hesychius].

τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς, καθελεῖν δὲ θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα), τὸν Ἐλέας τύραννον, ἑάλω. καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὑτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῶι τυράννωι καὶ ἐν ὅλμωι βληθεὶς συνετρίβη πτισσόμενος.

3. EUSEB., Chron. Ia Ol. 81, 1–3 [456–454 a.C.] Ζ. καὶ Ἡράκλειτος ὁ σκοτεινὸς ἤκμαζον. [Cf. Parm., fr. A 11].

4. [PLATON], Alcib., I p. 119 A ἀλλὰ τῶν ἄλλων Ἀθηναίων ἢ τῶν ξένων δοῦλον ἢ ἐλεύθερον εἰπέ, ὅστις αἰτίαν ἔχει διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονέναι, ὥσπερ ἐγὼ [Socrate] ἔχω σοι εἰπεῖν διὰ τὴν Ζήνωνος Πυθόδωρον τὸν Ἰσολόχου [cf. Parm., fr. A 5] καὶ Καλλίαν τὸν Καλλιάδου, ὧν ἑκάτερος Ζήνωνι ἑκατὸν μνᾶς τελέσας σοφός τε καὶ ἐλλόγιμος γέγονεν. SCHOL. (la acest pasaj) Ζ. ὁ Ἐλεάτης Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν. τούτου Πυθόδωρος ἀκροατής, ὃς καὶ ἐν Παρμενίδηι μνήμης ἠξίωται ὡς Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ' οὗ Κέφαλος ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονε. PLUT., Pericl., 4, 5 διήκουσε δὲ Περικλῆς καὶ Ζήνωνος τοῦ Ἐλεάτου πραγματευομένου περὶ φύσιν ὡς Παρμενίδης, ἐλεγκτικὴν δέ τινα καὶ δι' ἀντιλογίας εἰς ἀπορίαν κατακλείουσαν ἐξασκήσαντος ἕξιν. [Cf. Parm., fr. A 12].

2. SUIDAS. Zenon, fiul lui Teleutagoras, filosof eleat; ca ani, apropiat de Pythagoras[11] și de Democrit, căci trăia în jurul celei de-a LXXVIII-a olympiade [468-465 a. C.]; învățăcel al lui Xenofanes sau al lui Parmenides. A scris *Polemici*, o *Deslușire* a învățăturilor lui Empedocles, *Către filosofi*[12], *Despre natură*[13] [din Hesychius].

Se spune despre el că ar fi născocitorul dialecticii, așa cum Empedocles e al retoricii. Căutând să-l înlăture pe Nearchos (alții zic pe Diomedon) tiranul Eleei, a fost prins. Cercetat de acesta, și-a mușcat limba până ce a retezat-o, apoi i-a scuipat-o în față. Aruncat într-o piuă, a fost acolo stropșit [din Diog. Laërt.].

3. EUSEB., *Chron. la Ol.* 81, 1–3 [456-454 a. C.]: Ajungeau la maturitate Zenon și Heraclit întunecatul [Cf. Parm., fr. A 11, *supra*, p. 87].

4. PLATON, *Alcib.* I, p. 119 A Dintre ceilalți atenieni ori străini, numește-mi unul – fie rob, fie om liber – devenit mai înțelept pe urma legăturilor lui cu Pericle, așa cum îți pot numi eu [*Socrate*] pe Pythodoros al lui Isolochos [cf. Parm., fr. A 5, *supra*, p. 83] sau pe Callias al lui Calliades, care, plătind fiecare câte o sută de mine lui Zenon, au devenit – mulțumită lui – înțelepți și respectați. SCHOL. (la acest pasaj): Zenon eleatul, elev al lui Parmenides, filosof naturalist și adevărat om politic; de aceea și e comparat cu Pericle, considerat omul politic prin excelență. Auditor al lui a fost Pythodoros, pomenit în *Parmenides* ca acel ce reproduce lui Antifon întreaga discuție; la școala acestuia, Kefalos din Klazomenai a devenit și el dascăl. PLUT., *Pericl.*, 4, 5 Pericle l-a ascultat și pe Zenon eleatul, care trata despre natură ca Parmenides, dar făcea dovadă de o deosebită aptitudine critică, mulțumită căreia, pe calea discuțiilor contradictorii, își ducea adversarii în situații fără ieșire [Cf. Parm., fr. A 12, *supra*, p. 87].

5. ARISTOT., Rhet., A 12. 1372 b 3 καὶ οἷς τοὐναντίον τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα [sc. γίγνεται, ἀφύλακτοι], οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς ἢ μητρός, ὥσπερ Ζήνωνι.

6. DIODOR., X 18, 2 ὅτι τυραννουμένης τῆς πατρίδος ὑπὸ Νεάρχου σκληρῶς, ἐπιβουλὴν κατὰ τοῦ τυράννου συνεστήσατο. καταφανὴς δὲ γενόμενος καὶ κατὰ τὰς ἐν ταῖς βασάνοις ἀνάγκας διερωτώμενος ὑπὸ τοῦ Νεάρχου, τίνες ἦσαν οἱ συνειδότες ᾽ὤφελον γάρ, ἔφησεν, ὥσπερ τῆς γλώττης εἰμὶ κύριος, οὕτως ὑπῆρχον καὶ τοῦ σώματος᾽. τοῦ δὲ τυράννου πολὺ μᾶλλον ταῖς βασάνοις προσεπιτείναντος ὁ Ζ. μέχρι μέν τινος διεκαρτέρει· μετὰ δὲ ταῦτα σπεύδων ἀπολυθῆναί ποτε τῆς ἀνάγκης καὶ ἅμα τιμωρήσασθαι τὸν Νέαρχον ἐπενοήσατό τι τοιοῦτον. κατὰ τὴν ἐπιτονωτάτην ἐπίτασιν τῆς βασάνου προσποιηθεὶς ἐνδιδόναι τὴν ψυχὴν ταῖς ἀλγηδόσιν ἀνέκραγεν· ᾽ἄνετε· ἐρῶ γὰρ πᾶσαν ἀλήθειαν᾽. ὡς δ᾽ ἀνῆκαν, ἠξίωσεν αὐτὸν ἀκοῦσαι κατ᾽ ἰδίαν προσελθόντα. πολλὰ γὰρ εἶναι τῶν λέγεσθαι μελλόντων, ἃ συνοίσει τηρεῖν ἐν ἀπορρήτωι. τοῦ δὲ τυράννου προσελθόντος ἀσμένως καὶ τὴν ἀκοὴν τῶι στόματι παραβαλόντος ὁ Ζ. τοῦ δυνάστου περιχανὼν τὸ οὖς ἐνέπρισε τοῖς ὀδοῦσι. τῶν δὲ ὑπηρετῶν ταχὺ προσδραμόντων καὶ πᾶσαν τῶι βασανιζομένωι προσφερόντων τιμωρίαν εἰς τὸ χαλάσαι τὸ δῆγμα, πολὺ μᾶλλον προσενεφύετο. τέλος δ᾽ οὐ δυνάμενοι τἀνδρὸς νικῆσαι τὴν εὐψυχίαν, παρεκέντησαν αὐτόν, ἵνα διίηι τοὺς ὀδόντας. καὶ τοιούτωι τεχνήματι τῶν ἀλγηδόνων ἀπελύθη καὶ παρὰ τοῦ τυράννου τὴν ἐνδεχομένην ἔλαβε τιμωρίαν.

7. PLUT., Adv. Colot., 32 p. 1126 D Ζ. τοίνυν ὁ Παρμενίδου γνώριμος ἐπιθέμενος Δημύλωι τῶι τυράννωι καὶ δυστυχήσας περὶ τὴν πρᾶξιν, ἐν πυρὶ τὸν Παρμενίδου λόγον ὥσπερ χρυσὸν ἀκήρατον καὶ δόκιμον παρέσχε καὶ ἀπέδειξεν

5. ARISTOT., *Rhet.*, A 12, 1372 b 3 *<Cred a putea săvârși o nedreptate>* cei cărora, dimpotrivă, nedreptatea le aduce laudă: de pildă, dacă s-ar întâmpla cuiva să-și răzbune dintr-o dată și tatăl și mama, ca lui Zenon.

6. DIODOR., X 18, 2 Pentru că patria lui era asuprită tare de Nearchos, a urzit un complot împotriva tiranului. Dat pe față și, în mijlocul chinurilor caznei, întrebat de Nearchos care-i erau tovarășii, a răspuns: «de mi-aș putea stăpâni și trupul așa cum îmi stăpânesc limba!». Cum tiranul îi sporea tot mai mult cazna, Zenon a răbdat până la un timp cu tărie; pe urmă, dorind să scape de chin și totodată să se răzbune pe Nearchos, a născocit următorul șiretlic. În clipa celei mai mari încordări a caznelor, prefăcându-se că-și dă sufletul de durere, a strigat: «lăsați-mă! voi spune totadevărul». După ce l-au lăsat, a cerut ca Nearchos să vină mai aproape, ca să audă numai el, multe din cele ce avea de spus trebuind să rămână mai bine ascunse. Când tiranul, bucuros, a pășit mai în față, apropiindu-și urechea de gura lui, Zenon, dintr-o mușcătură, i-a înșfăcat-o cu dinții. Slujitorii au alergat în grabă și au încercat împotriva torturatului tot soiul de cazne, doaro slăbi strânsoarea: dar el și mai tare se încleșta. Până la urmă, nefiind în stare să-i răzbească tăria de suflet, l-au străpuns de amândouă părțile, ca să-și descleșteze dinții. Cu ajutorul acestui șiretlic, a scăpat de chinuri și și-a primit pedeapsa cuvenită din partea tiranului.

7. PLUT., *Adv. Colot.*, 32 p. 1126 D Zenon, elevul lui Parmenides[14], care uneltise împotriva tiranului Demylos fără să izbutească în planul lui, a supus învățătura lui Parmenides încercării focului, – așa cum se încearcă aurul curat și bun, – dovedind cu

ἔργοις, ὅτι τὸ αἰσχρὸν ἀνδρὶ μεγάλωι φοβερόν ἐστιν, ἀλγηδόνα δὲ παῖδες καὶ γύναια καὶ γυναίων ψυχὰς ἔχοντες ἄνδρες δεδίασι· τὴν γὰρ γλῶτταν αὐτοῦ διατραγὼν τῶι τυράννωι προσέπτυσεν. Cf. De stoic. rep., 37, p. 1051 C; De garr., 8, p. 505 D.

8. CLEM., Strom., IV 57 (II 274, 1 St.) οὐ μόνον Αἰσώπιοι καὶ Μακεδόνες καὶ Λάκωνες στρεβλούμενοι ἐκαρτέρουν, ὥς φησιν Ἐρατοσθένης ἐν τοῖς Περὶ ἀγαθῶν καὶ κακῶν, ἀλλὰ καὶ Ζ. ὁ Ἐλεάτης ἀναγκαζόμενος κατειπεῖν τι τῶν ἀπορρήτων ἀντέσχεν πρὸς τὰς βασάνους οὐδὲν ἐξομολογούμενος, ὅς γε καὶ τελευτῶν τὴν γλῶσσαν ἐκτραγὼν προσέπτυσε τῶι τυράννωι, ὃν οἱ μὲν Νέαρχον, οἱ δὲ Δημύλον προσαγορεύουσιν. Cf. Val. Max. III ext. 2 (Phalaris), 3 (Nearchos); Nemes., 30 (Dionys.: cf. fr. A 19).

9. PHILOSTR., Vita Apoll., Tyan. VII 2 Ζ. μὲν τοίνυν ὁ Ἐλεάτης (διαλεκτικῆς δὲ οὗτος δοκεῖ ἄρξαι) τὴν Νεάρχου τοῦ Μυσοῦ καταλύων τυραννίδα ἥλω καὶ στρεβλωθεὶς τοὺς μὲν ἑαυτοῦ ξυνωμότας ἀπεσιώπησεν, οἳ δ' ἦσαν τῶι τυράννωι βέβαιοι διαβαλὼν τούτους ὡς οὐ βεβαίους, οἱ μὲν ὡς ἐπ' ἀληθέσι ταῖς αἰτίαις ἀπέθανον, ὁ δ' ἐλεύθερα τὰ Μυσῶν ἤγαγε τὴν τυραννίδα περὶ ἑαυτῆι σφήλας.

10. DIOG. LAËRT., VIII 57 [cf. A 1] Ἀριστοτέλης δ' ἐν τῶι Σοφιστῆι [fr. 65] φησι πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν. SEXT., Adv. math., VII 6 Παρμενίδης δὲ οὐκ ἂν δόξαι τῆς διαλεκτικῆς ἀπείρως ἔχειν, ἐπείπερ πάλιν Ἀριστοτέλης τὸν γνώριμον αὐτοῦ Ζήνωνα διαλεκτικῆς ἀρχηγὸν ὑπείληφεν.

fapte că bărbatului în toată firea nu-i e frică decât de rușine și că de durere se tem numai copiii, femeile și bărbații cu suflet de femeie: într-adevăr, retezându-și limba cu dinții, a scuipat-o în fața tiranului. Cf. *De stoic. rep.*, 37, p. 1051 C; *De garr.*, 8, p. 505 D.

8. CLEM., *Strom.*, IV 57 (II 274, 1 St.) Nu numai beoțienii[15] și macedonenii și lacedemonienii s-au arătat tari în timp ce erau supuși la cazne, cum pretinde Eratosthenes în *Despre bine și rău*, ci și Zenon eleatul, torturat ca să dezvăluie anumite taine, a rezistat suferințelor fără să spună nimic, ba, până la urmă, și-a retezat limba cu dinții și a scuipat-o în fața tiranului, pe care unii îl numesc Nearchos, alții Demylos. Cf. Val. Max. III ext. 2 (Phalaris), 3 (Nearchos); Nemes., 30 (Dionys.: cf. fr. A 19).

9. PHILOSTR., *Vita Apoll. Tyan.*, VII 2 Zenoneleatul (acesta pare să fi născocit dialectica), umblând să răstoarne tirania lui Nearchos în Mysos, a fost prins; supus la cazne, și-a trecut complicii sub tăcere, ba, părând ca necredincioși pe cei ce erau credincioși tiranului, a făcut ca aceștia să fie omorâți, ca și cum învinuirea ar fi fost adevărată, și a dus pe mysieni la libertate, înșelând tirania cu privire la ea însăși.

10. DIOG. LAËRT., VIII 57 [cf. fr. A 1] Aristotel, în *Sofistul* [fr. 65], zice că Empedocles ar fi născocit întâi retorica, iar Zenon dialectica[16]. SEXT., *Adv. math.*, VII 6 Parmenides nu pare să fi fost cu totul străin de dialectică, de vreme ce elevul acestuia Zenon e înfățișat de Aristotel ca inițiatorul dialecticii.

11. PLATON, Parm., 127 AB ἔφη δὲ δὴ ὁ Ἀντιφῶν λέγειν τὸν Πυθόδωρον ὅτι ἀφίκοιντό ποτε εἰς Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Παρμενίδης. τὸν μὲν οὖν Παρμενίδην εὖ μάλα ἤδη πρεσβύτην εἶναι, σφόδρα πολιόν, καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ ἐγγὺς τῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν, καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. καταλύειν δὲ αὐτοὺς ἔφη παρὰ τῶι Πυθοδώρωι ἐκτὸς τείχους ἐν Κεραμεικῶι· οἳ δὴ καὶ ἀφικέσθαι τόν τε Σωκράτη καὶ ἄλλους τινὰς μετ' αὐτοῦ πολλούς, ἐπιθυμοῦντας ἀκοῦσαι τῶν τοῦ Ζήνωνος γραμμάτων (τότε γὰρ αὐτὰ πρῶτον ὑπ' ἐκείνων κομισθῆναι), Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον. ἀναγιγνώσκειν οὖν αὐτοῖς τὸν Ζήνωνα αὐτόν, τὸν δὲ Παρμενίδην τυχεῖν ἔξω ὄντα· καὶ εἶναι πάνυ βραχὺ ἔτι λοιπὸν τῶν λόγων ἀναγιγνωσκομένων, ἡνίκα αὐτός τε ἐπεισελθεῖν ἔφη ὁ Πυθόδωρος ἔξωθεν καὶ τὸν Παρμενίδην μετ' αὐτοῦ καὶ Ἀριστοτέλη τὸν τῶν τριάκοντα γενόμενον, καὶ σμίκρ' ἄττα ἔτι ἐπακοῦσαι τῶν γραμμάτων κτλ. [Cf. *supra* fr. A 1 şi *Parm.*, fr. A 5. *Contra*, ATHEN., XI 505 F τὸ δὲ πάντων σχετλιώτατον καὶ <ψευδέστατον> τὸ εἰπεῖν οὐδεμιᾶς κατεπειγούσης χρείας ὅτι παιδικὰ γεγόνοι τοῦ Παρμενίδου Ζ. ὁ πολίτης αὐτοῦ.]

12. — Parm., 128 B Ναί, φάναι τὸν Ζήνωνα, ὦ Σώκρατες. σὺ δ' οὖν τὴν ἀλήθειαν τοῦ γράμματος οὐ πανταχοῦ ἤισθησαι. καίτοι ὥσπερ γε αἱ Λάκαιναι σκύλακες εὖ μεταθεῖς τε καὶ ἰχνεύεις τὰ λεχθέντα· ἀλλὰ πρῶτον μέν σε τοῦτο λανθάνει, ὅτι οὐ παντάπασιν οὕτω σεμνύνεται τὸ γράμμα, ὥστε ἅπερ σὺ λέγεις διανοηθὲν γραφῆναι, τοὺς ἀνθρώπους δὲ ἐπικρυπτόμενον ὥς τι μέγα διαπραττόμενον· ἀλλὰ σὺ μὲν εἶπες τῶν συμβεβηκότων τι, ἔστι δὲ τό γε ἀληθὲς βοήθειά τις ταῦτα [τὰ γράμματα] τῶι Παρμενίδου

SCRIEREA

11. PLATON, *Parm.*, 127 A B Zicea dar Antifon că Pythodoros ar fi povestit cum au venit odată, la sărbătoarea Marilor Panatenee, Zenon și Parmenides: Parmenides destul de bătrân și cărunt tare, – dar distins la înfățișare, – cam de vreo șaizeci și cinci de ani; Zenon, care atunci se apropia de patruzeci, bine făcut și plăcut la vedere: se zicea de el că ar fi fost iubitul lui Parmenides. Spunea că au tras la Pythodoros, dincolo de ziduri, în părțile Ceramicului. Acolo au venit Socrate și, cu el, alții mulți, doritori să asculte lecturi din scrisele lui Zenon, atunci pentru întâia oară aduse la Atena: Socrate ar fi fost pe vremea aceea foarte tânăr. Zenon însuși a prins să le citească, într-un moment când se întâmpla ca Parmenides să nu fie acasă. Mai rămăsese foarte puțin de citit, când s-au întors de unde fuseseră, el – Pythodoros – și, cu el, Parmenides și Aristotel, cel care avea să facă parte din «cei treizeci»[17]: așa că, din scriere, au putut auzi doar puțin... [Cf. *supra* fr. A 1 și *Parm.*, fr. A 5. *Contra*, ATHEN., XI 505 F Ce e însămai grav și mai neadevărat decât orice e când, fără nici o nevoie, [*Platon*] pretinde că Zenon, concetățeanul lui Parmenides, ar fi fost iubitul aceluia...].

12. — *Parm.*, 128 B Da, Socrate, ar fi zis Zenon. Dar, de-i așa, n-ai prins deloc noima scrierii, măcar că de fugărit și de adulmecat spusele altuia te pricepi parc-ai fi un copoi din Laconia. Mai întâi, nu ți-ai dat seama că această scriere – compusă cu intenția de care vorbești – nu urmărește câtuși de puțin s-o ascundă oamenilor, nici să treacă în ochii lor drept ceva măreț. Ceva din cele spuse de tine se potrivește totuși: că lucrarea își propune într-adevăr să ia apărarea raționamentului lui Parmenides îm-

λόγωι πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμωιδεῖν ὡς, εἰ ἕν ἐστι, πολλὰ καὶ γελοῖα συμβαίνει πάσχειν τῶι λόγωι καὶ ἐναντία αὐτῶι. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς τοὺς τὰ πολλὰ λέγοντας, καὶ ἀνταποδίδωσι ταὐτὰ καὶ πλείω, τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, εἰ πολλά ἐστιν, ἢ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. διὰ τοιαύτην δὴ φιλονικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν, ὥστε οὐδὲ βουλεύσασθαι ἐξεγένετο εἴτ' ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς εἴτε μή. ταύτηι οὖν σε λανθάνει, ὦ Σώκρατες, ὅτι οὐχ ὑπὸ νέου φιλονικίας οἴει αὐτὸ γεγράφθαι, ἀλλ' ὑπὸ πρεσβυτέρου φιλοτιμίας· ἐπεί, ὅπερ γ' εἶπον, οὐ κακῶς ἀπήικασας.

13. — Phaedr., 261 D τὸν οὖν Ἐλεατικὸν Παλαμήδην λέγοντα οὐκ ἴσμεν τέχνηι ὥστε φαίνεσθαι τοῖς ἀκούουσι τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλά, μένοντά τε αὖ καὶ φερόμενα;

14. ARISTOT., Soph. el., 10. 170b 19 εἰ δή τις πλείω σημαίνοντος τοῦ ὀνόματος οἴοιτο ἓν σημαίνειν καὶ ὁ ἐρωτῶν καὶ ὁ ἐρωτώμενος, οἷον ἴσως τὸ ὂν ἢ τὸ ἓν πολλὰ σημαίνει, ἀλλὰ καὶ ὁ ἀποκρινόμενος καὶ ὁ ἐρωτῶν Ζήνων ἓν οἰόμενος εἶναι ἠρώτησε, καὶ ἔστιν ὁ λόγος ὅτι ἓν πάντα, οὗτος πρὸς τοὔνομα ἔσται ἢ πρὸς τὴν διάνοιαν τοῦ ἐρωτωμένου διειλεγμένος. Cf. PLATON, Soph., 217 C, de unde DIOG. LAËRT., III 48 διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην, Ἀριστοτέλης δ' ἐν πρώτωι Περὶ ποιητῶν [fr. 55] Ἀλεξαμενὸν Στυρέα ἢ Τήιον. Cf. fr. A 10 și ATHEN. V p. 505 B.

15. PROCL., In Parm. p. 694, 23 [comentariu la Platon, p. 127 D] πολλῶν δὲ εἰρημένων ὑπὸ τοῦ Ζήνωνος λόγων καὶ τετ-

potriva celorce încearcă să-și bată joc de el[18], sub cuvânt că, dacă ființa e una, urmările acestei afirmații sunt multe și ridicole, ba chiar contrare afirmației însăși. Scrierea e îndreptată împotriva celor ce susțin pluralitatea, plătindu-le cu vârf și îndesat, prin aceea că-și propune să arate că, urmărite cum trebuie, consecințele ipotezei după care ființele ar fi mai multe sunt încă și mai ridicole decât în ipoteza unicității. Din această pornire polemică își trage dar ea obârșia, – într-o vreme când eram tânăr, – și cineva mi-a furat manuscrisul, așa că n-a fost nevoie să stau la cumpănă dacă trebuie sau nu să-l dau la iveală. Aci te-ai înșelat, Socrate: când ai crezut că lucrarea a fost compusă nu din pornirea polemică a unui tânăr, ci din setea de glorie a unui om format; deși, altminteri, cum ți-am mai spus, n-ai judecat-o rău... [19].

13. — *Phaedr.*, 261 D Cât despre Palamedul eleat, nu știm oare că vorbea cu atâta meșteșug încât – ascultătorilor lui – aceleași lucruri li se păreau asemenea și neasemenea, unul și mai multe, nemișcate și în mișcare?

14. ARISTOT., *Soph. el.*, 10, 170 b 19 Dacă, în fața unui substantiv cu mai multe înțelesuri, cineva – fie persoana care întreabă, fie cea întrebată – e de părere că are numai unul singur (bunăoară, când zicem «ființă» sau «unu», înțelegem mai multe lucruri, dar atât cel întrebat cât și Zenon, care întreabă, pun întrebarea convinși că înțelesul e unu, ceea ce duce la încheierea că Totul e Unu), un asemenea raționament are a fi considerat fie în raport cu substantivul, fie cu judecata celui întrebat. Cf. PLATON, *Soph.*, 217 C, de unde DIOG. LAËRT., III 48 Se spune că cel dintâi autor de dialoguri ar fi fost Zenon din Elea, dar Aristotel, în prima carte a tratatului *Despre poeți* [fr. 55], pomenește pe Alexamenos din Styra sau din Teos. Cf. fr. A 10 și ATHEN. V p. 505 B.

15. PROCL., *In Parm.*, p. 694, 23 [*comentariu la Platon*, p. 127 D] Din multele argumente formulate de Zenon, – patruzeci în totul,

ταράκοντα τῶν πάντων ἕνα τῶν πρώτων ὁ Σωκράτης ἀπολαβὼν ἀπορεῖ πρὸς αὐτόν ...· εἰ πολλὰ τὰ ὄντα, τὸ αὐτὸ ὂν ὅμοιόν ἐστι καὶ ἀνόμοιον, ἀλλὰ μὴν ἀδύνατον τὸ αὐτὸ ὅμοιον εἶναι καὶ ἀνόμοιον· οὐκ ἄρα πολλὰ τὰ ὄντα.

ELIAS, In categ., p. 109, 6 Busse Ζήνων ὁ Κιττιεύς, οὐχ ὁ Ἐλεάτης ὁ καὶ Παρμενίδειος ... ἀμφοτερόγλωσσος δ' ἐκλήθη οὐχ ὅτι διαλεκτικὸς ἦν, ὡς ὁ Κιττιεύς, καὶ τὰ αὐτὰ ἀνεσκεύαζε καὶ κατεσκεύαζεν, ἀλλ' ὅτι τῇι ζωῇι διαλεκτικὸς ἦν ἄλλα μὲν λέγων ἄλλα δὲ φρονῶν· ἐρωτηθεὶς γὰρ οὗτός ποτε ὑπὸ τοῦ τυράννου, τίνες εἰσὶν οἱ μάλιστα ἐπιβουλεύοντες τῇι τυραννίδι αὐτοῦ, τοὺς δορυφόρους ἔδειξεν· ὁ δὲ πεισθεὶς καὶ ἀνελὼν αὐτοὺς διεφθάρη· ἀγαθὸν γὰρ ἐνόμισε τὸ ψεύσασθαι διὰ τὴν τοῦ τυράννου ἀναίρεσιν. καὶ τῶι οἰκείωι διδασκάλωι ποτὲ Παρμενίδηι ἓν λέγοντι τὸ ὂν κατὰ τὸ εἶδος, ἐκ <δὲ> τῆς ἐναργείας πολλὰ τὰ ὄντα, συντίθησιν ἐκ τεσσαράκοντα ἐπιχειρημάτων ὅτι ἓν τὸ ὄν, ἀγαθὸν νομίσας τῶι οἰκείωι συμμαχεῖν διδασκάλωι. καί ποτε πάλιν τῶι αὐτῶι συνηγορῶν διδασκάλωι ἀκίνητον λέγοντι τὸ ὄν, διὰ πέντε ἐπιχειρημάτων κατασκευάζει, ὅτι ἀκίνητον τὸ ὄν· οἷς ἀντειπεῖν μὴ δυνηθεὶς Ἀντισθένης ὁ Κυνικὸς ἀναστὰς ἐβάδισε, νομίσας ἰσχυροτέραν εἶναι πάσης τῆς διὰ λόγων ἀντιλογίας τὴν διὰ τῆς ἐνεργείας ἀπόδειξιν.

16. EUDEM., Phys., fr. 7 [SIMPL., Phys., 97, 12 cf. Schöbe, Quaest. Eudem., p. 54] καὶ Ζήνωνά φασι λέγειν, εἴ τις αὐτῶι τὸ ἓν ἀποδοίη τί ποτέ ἐστιν, ἔξειν τὰ ὄντα λέγειν.

17. PLUT., Pericl., 5, 3 τοὺς δὲ τοῦ Περικλέους τὴν σεμνότητα δοξοκοπίαν τε καὶ τῦφον ἀποκαλοῦντας ὁ Ζ. παρεκάλει καὶ αὐτούς τι τοιοῦτο δοξοκοπεῖν, ὡς τῆς προσποιήσεως αὐτῆς τῶν καλῶν ὑποποιούσης τινὰ λεληθότως ζῆλον καὶ

– Socrate se oprește asupra unuia din cele dintâi și-și exprimă nedumerirea...: dacă ființele sunt multe, aceeași ființă e asemenea și neasemenea; dar e cu neputință ca aceeași ființă să fie asemenea și neasemenea, deci ființele nu sunt mai multe. ELIAS. *In categ.*, p. 109, 6 Busse. Zenon din Kition, – altul decât cel din Elea, parmenidianul... supranumit ἀμφοτερόγλωσσος, nu numai pentru că era un dialectician, ca Zenon din Kition, complăcându-se să respingă și să susțină același lucru, dar pentru că era dialectician și în viață, una spunând și alta gândind. Acesta, întrebat odată de tiran care erau cei ce unelteau mai mult împotriva tiraniei lui, a arătat pe oștenii din gardă; încrezându-se în el și suprimându-i, tiranul a fost ucis. A crezut dar că minciuna e un bine, dacă duce la înlăturarea tiranului. În sprijinul învățătorului său Parmenides, care susținuse altădată că potrivit conceptului pe care ni-l facem despre ea ființa e una, darcă potrivit evidenței sensibile sunt mai multe, dovedește cu patruzeci de argumente că ființa e una, gândind că e frumos lucru să dea ajutor învățătorului său[20]. Altădată iarăși, în apărarea aceluiași dascăl, care afirma că ființa e nemișcată, dovedește cu cinci argumente că ființa e nemișcată. Neputând să le opună alte temeiuri, Antisthene cinicul s-a ridicat și a prins a merge, convins că demonstrația pe calea evidenței sensibile[21] e mai tare decât orice tăgadă verbală.

APOFTEGMATICA

16. EUDEM., *Phys.*, fr. 7 [SIMPL., Phys., 97, 12. Cf. Schöbe, *Quaest. Eudem.*, p. 54] Se zice că Zenon ar fi spus că, dacă cineva i-arată ce-i aceea unitate, ar putea vorbi despre ființe[22].

17. PLUT., *Pericl.*, 5, 3 Pe cei ce spuneau că gravitatea lui Pericle n-ar fi decât sete de faimă și trufie, Zenon îi sfătuia să dea dovadă de o sete asemănătoare, convins că însăși simularea unor calități frumoase are ca rezultat – pe nesimțite – oarecum nevoia

συνήθειαν.

18. PHILO, Quod omn. prob. lib., 14 [II 460 M.] ἐπὶ δὴ τοιαύταις ἀποφάσεσι καὶ γνώμαις ἆρ' οὐκ ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι ὅτι 'θᾶττον ἂν ἀσκὸν βαπτίσαι πλήρη πνεύματος ἢ βιάσαιτο τὸν σπουδαῖον ὀντινοῦν ἄκοντα δρᾶσαί τι τῶν ἀβουλήτων;'

19. TERTULL., Apolog. 50 *Zeno Eleates consultus a Dionysio, quidnam philosophia praestaret, cum respondisset 'contemptum mortis', impassibilis flagellis tyranni obiectus sententiam suam ad mortem usque signabat.*

20. STOB., Flor., (III) t. 7, 37 H. Ζ. ὁ Ἐλεάτης ὑπὸ τοῦ τυράννου στρεβλούμενος, ὅπως εἴποι τοὺς συνωμότας· 'εἰ γὰρ ἦσαν, εἶπεν, ἐτυράννεις;'

Cf. scrierea lui Aristotel: Πρὸς τὰ Ζήνωνος α̂ (Diog. Laërt., V 25) și aceea a lui Herakleides Ponticul, Πρὸς τὸ Ζήνωνος α̂ (Diog. Laërt., V 87).

21. ARISTOT., Metaph., B 4. 1001 b 7 ἔτι εἰ ἀδιαίρετον αὐτὸ τὸ ἕν, κατὰ μὲν τὸ Ζήνωνος ἀξίωμα οὐθὲν ἂν εἴη. ὃ γὰρ μήτε προστιθέμενον μήτε ἀφαιρούμενον ποιεῖ μεῖζον μηδὲ ἔλαττον, οὔ φησιν εἶναι τοῦτο τῶν ὄντων, ὡς δηλονότι ὄντος μεγέθους τοῦ ὄντος· καὶ εἰ μέγεθος, σωματικόν· τοῦτο γὰρ πάντηι ὄν. τὰ δὲ ἄλλα πῶς μὲν προστιθέμενα ποιήσει μεῖζον, πῶς δ' οὐθέν, οἷον ἐπίπεδον καὶ γραμμή· στιγμὴ δὲ καὶ μονὰς οὐδαμῶς. SIMPL., Phys., 97, 13 [din Eudem., fr. 7, după A 16] ἠπόρει δὲ ὡς ἔοικε διὰ τὸ τῶν μὲν αἰσθητῶν ἕκαστον

și deprinderea lor.

18. PHILO, *Quod omn. prob. lib.*, 14 II 460 M. În fața unor asemenea păreri și reflexiuni, nu-i oare cazul să amintesc vorba aceea a lui Zenon, că «mai lesne ai putea da la fund un burduf plin cu aer, decâtsă faci pe un om de bine să facă fără voie ceva nelalocul lui»?[23].

19. TERTULL., *Apolog.*, 50 Întrebat de Dionysios la ce e bună filosofia, Zenon eleatul a răspuns: «ca să disprețuiești moartea»; și, supus fără să crăcnească torturilortiranului, și-a întărit spusa până la moarte.

20. STOB., *Flor.*, (III) t. 7, 37 H. Supus la cazne de tiran, ca să-și trădeze complicii, Zenon eleatul a răspuns: «dacă aș avea, ai mai asupri?»

ÎNVĂȚĂTURA

Cf. scrierea lui Aristotel: *Împotriva argumentelor lui Zenon* (Diog. Laërt., V 25) și aceea a lui Herakleides Ponticul, *Împotriva operei lui Zenon* (Diog. Laërt., V 87).

21. ARISTOT., *Metaph.*, B 4. 1001 b 7 Și iarăși, dacă unul e în sine indivizibil, după judecata lui Zenon n-ar trebui să existe nimic. Căci ceea ce nici adăugat nici scăzut nu determină o sporire sau o micșorare, după el nu faceparte din rândul ființelor, de unde apare lămurit că mărimea e un atribut al ființei. Dacă însă ființa e mărime, atunci e corporală, căci numai ce e corporal există în toată plinătatea. Celelalte lucruri incorporale, adăugate într-un anumit chip determină o sporire, adăugate în alt chip, nu: bunăoară, suprafața și linia; punctul însă, și unitatea, nicidecum[24]. SIMPL., *Phys.*, 97, 13 [din Eudem., fr. 7, după A 16] Greutatea cu care

κατηγορικῶς τε πολλὰ λέγεσθαι καὶ μερισμῶι, τὴν δὲ στιγμὴν μηδὲ ἓν τιθέναι· ὃ γὰρ μήτε προστιθέμενον αὔξει μήτε ἀφαιρούμενον μειοῖ, οὐκ ὤιετο τῶν ὄντων εἶναι. Ibid. 99, 10 ἐνταῦθα δέ, ὡς ὁ Εὔδημός φησι. καὶ ἀνήιρει [Zenon] τὸ ἕν (τὴν γὰρ στιγμὴν ὡς τὸ ἓν λέγει), τὰ δὲ πολλὰ εἶναι συγχωρεῖ. ὁ μέντοι Ἀλέξανδρος καὶ ἐνταῦθα τοῦ Ζήνωνος ὡς τὰ πολλὰ ἀναιροῦντος μεμνῆσθαι τὸν Εὔδημον οἴεται. ‘ὡς γὰρ ἱστορεῖ (φησίν) Εὔδημος [fr. 7], Ζ. ὁ Παρμενίδου γνώριμος ἐπειρᾶτο δεικνύναι ὅτι μὴ οἷόν τε τὰ ὄντα πολλὰ εἶναι τῶι μηδὲν εἶναι ἐν τοῖς οὖσιν ἕν, τὰ δὲ πολλὰ πλῆθος εἶναι ἑνάδων’. καὶ ὅτι μὲν οὐχ ὡς τὰ πολλὰ ἀναιροῦντος τοῦ Ζήνωνος Εὔδημος μέμνηται νῦν, δῆλον ἐκ τῆς αὐτοῦ λέξεως· οἶμαι δὲ μηδὲ ἐν τῶι Ζήνωνος βιβλίωι τοιοῦτον ἐπιχείρημα φέρεσθαι οἷον ὁ Ἀλέξανδρός φησι. PHILOP., Phys., 42, 9 Ζ. γὰρ. ὁ Ἐλεάτης πρὸς τοὺς διακωμωιδοῦντας τὴν Παρμενίδου τοῦ διδασκάλου αὐτοῦ δόξαν λέγουσαν ἓν τὸ ὂν εἶναι ἐνιστάμενος καὶ συνηγορῶν τῆι τοῦ διδασκάλου δόξηι ἐπεχείρει δεικνύναι ὅτι ἀδύνατον πλῆθος εἶναι ἐν τοῖς οὖσιν. εἰ γάρ, φησίν, ἔστι πλῆθος, ἐπειδὴ τὸ πλῆθος ἐκ πλειόνων ἑνάδων σύγκειται, ἀνάγκη εἶναι ἑνάδας πλείους ἐξ ὧν τὸ πλῆθος συνέστηκεν. εἰ τοίνυν δείξομεν ὅτι ἀδύνατον εἶναι πλείονας ἑνάδας, δῆλον ὅτι ἀδύνατον εἶναι πλῆθος· τὸ γὰρ πλῆθος ἐξ ἑνάδων. εἰ δὲ ἀδύνατον εἶναι πλῆθος, ἀνάγκη δὲ ἢ τὸ ἓν εἶναι ἢ τὸ πλῆθος, πλῆθος δὲ εἶναι οὐ δύναται, λείπεται τὸ ἓν εἶναι κτλ. SENECA, Ep., 88, 44 ***Parmenides ait ex his quae videntur nihil esse universo; Z. Eleates omnia negotia de negotio deiecit; ait nihil esse*** ... 45 ***si Parmenidi*** [sc. credo], ***nihil est praeter unum; si Zenoni, ne unum quidem.*** [Cf. Isocrat., 10, 3].

lupta Zenon venea, după cât se pare, din aceea că fiece lucru sensibil era socotit de el o pluralitate, – pentru atributele sale <numeroase> ca și pentru posibilitatea de a se subdivide, – câtă vreme punctul nu constituia <în ochii lui> o unitate[25]; căci, gândea el, ceea ce a adăugat nu sporește nici scăzut nu micșorează nu face parte din rândul ființelor. – *Ibid.*, 99, 10 În acest loc, cum observă Eudemos, [*Zenon*] tăgăduiește unitatea (unitatea fiind pentru el punctul) și admite pluralitatea[26]. Alexandru, în schimb, crede că și aci Eudemos amintește de Zenon ca de unul care refuză să admită pluralitatea. «După câte povestește Eudemos, – se exprimă el, – Zenon, elevul lui Parmenides, a încercat să arate că nu e cu putință ca ființele să fie mai multe, întrucât nici una dintre ele nu e *una*, iar pluralitatea e alcătuită dintr-o mulțime de unități». Că, în acest loc, Eudemos nu amintește de Zenon ca de un negator al pluralității, mi se pare lămurit din înșeși cuvintele lui; cred dealtminteri că nici în lucrarea lui Zenon nu se găsește o argumentare de felul aceleia de care vorbește Alexandru. PHILOP., *Phys.*, 42, 9 Ridicându-se împotriva celor ce luau în derâdere învățătura dascălului său Parmenides, potrivit căreia ființa e una, și împărtășind această învățătură, Zenon eleatul încerca să arate că, în domeniul ființei, e cu neputință să existe pluralitate. «Dacă am admite pluralitatea, argumenta el, de vreme ce o pluralitate e alcătuită din mai multe unități, urmează în chip necesar că trebuie să existe mai multe unități din care s-a ivit pluralitatea. Dacă vom fi arătat, prin urmare, că e cu neputință să existe mai multe unități, va fi lămurit că e cu neputință să existe pluralitatea: doar pluralitatea din unități <își trage ființa>. Dar, dacă e cu neputință să existe pluralitate, – dat fiind că, în chip necesar, trebuie să existe sau unitate sau pluralitate, iar pluralitatea nu e cu putință, – urmează că există unitatea». SENECA, *Ep.*, 88, 44 Parmenides zice că, din lucrurile ce se văd, nici unul nu e esențial Totului; barim Zenon eleatul scapă și mai lesne de toate greutățile: pentru el nu există nimic. – 45. Dac-ar fi să-l cred pe Parmenides, nu există decât unitatea; dac-ar fi să-l cred pe Zenon, nici măcar unitatea... [Cf. Isocrat., 10, 3].

22. [ARISTOT.], De lin. insec. 968 a 18 ἔτι δὲ κατὰ τὸν τοῦ Ζήνωνος λόγον ἀνάγκη τι μέγεθος ἀμερὲς εἶναι, εἴπερ ἀδύνατον μὲν ἐν πεπερασμένωι χρόνωι ἀπείρων ἅψασθαι καθ' ἕκαστον ἁπτόμενον, ἀνάγκη δ' ἐπὶ τὸ ἥμισυ πρότερον ἀφικνεῖσθαι τὸ κινούμενον, τοῦ δὲ μὴ ἀμεροῦς πάντως ἔστιν ἥμισυ. ARISTOT., Phys., A 3. 187a 1 ἔνιοι δ' ἐνέδοσαν τοῖς λόγοις ἀμφοτέροις, τῶι μὲν ὅτι πάντα ἕν ..., τῶι δὲ ἐκ τῆς διχοτομίας ἄτομα ποιήσαντες μεγέθη. SIMPL., 138, 3 τὸν δὲ δεύτερον λόγον τὸν ἐκ τῆς διχοτομίας τοῦ Ζήνωνος εἶναί φησιν ὁ Ἀλέξανδρος .. τούτωι δὲ τῶι λόγωι, φησί, τῶι περὶ τῆς διχοτομίας ἐνδοῦναι Ξενοκράτη τὸν Καλχηδόνιον [fr. 42 şi urm. Heinze] δεξάμενον μὲν τὸ πᾶν τὸ διαιρετὸν πολλὰ εἶναι (τὸ γὰρ μέρος ἕτερον εἶναι τοῦ ὅλου) ... εἶναι γάρ τινας ἀτόμους γραμμάς, ἐφ' ὧν οὐκέτι ἀληθεύεσθαι τὸ πολλὰς ταύτας εἶναι.

23. SIMPL., Phys., 134, 2 (comentariu la Aristot., Phys., A 3. 187a 1) ἐνίους φησὶν ἀμφοτέροις ἐνδοῦναι τοῖς λόγοις, τῶι τε εἰρημένωι τοῦ Παρμενίδου καὶ τῶι τοῦ Ζήνωνος, ὃς βοηθεῖν ἐβούλετο τῶι Παρμενίδου λόγωι πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμωιδεῖν, ὡς εἰ ἕν ἐστι, πολλὰ καὶ γελοῖα συμβαίνει λέγειν τῶι λόγωι καὶ ἐναντία αὐτῶι, δεικνὺς ὁ Ζ. ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις ἡ λέγουσα 'πολλά ἐστιν' ἤπερ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. [PLUT.] Strom. 5 [D. 581] Ζ. δὲ ὁ Ἐλεάτης ἴδιον μὲν οὐδὲν ἐξέθετο, διηπόρησεν δὲ περὶ τούτων ἐπὶ πλεῖον. [AËT., IV, 9, 1 Cf. Parm., fr. A 49, *supra*, p. 109].

24. ARISTOT., Phys., Δ 3. 210b 22 ὁ δὲ Ζ. ἠπόρει, ὅτι 'εἰ ἔστι τι ὁ τόπος, ἐν τίνι ἔσται;' λύειν οὐ χαλεπόν. οὐδὲν γὰρ κωλύει ἐν ἄλλωι μὲν εἶναι τὸν πρῶτον τόπον, μὴ μέντοι ὡς

22. ARISTOT., *Delin. insec.*, 968 a 18 **Totașa, după raționamentul lui Zenon, o mărime trebuie să fie neapărat nesusceptibilă de împărțire, de vreme ce, într-un timp mărginit, e cu neputință să se atingă un număr nemărginit de părți, trecându-se de la una la alta: în chip necesar mobilul va ajunge mai întâi la jumătate, iar ceva susceptibil de împărțire are în orice moment o jumătate.** ARISTOT., *Phys.*, A 3.187 a 1 **Unii înțelepți s-au declarat de acord cu amândouă argumentările: și cu cea care susține că Totul e Unu... și cu cea care, pe calea împărțirii în două, ajunge să admită existența mărimilor indivizibile.** SIMPL., 138, 3 [*comentariu la pas. abiacitat*] **Desprecel de-al doilea argument, acel al împărțirii în două, Alexandru zice că ar fi al lui Zenon,... și mai zice că cu acest argument al împărțirii s-ar fi arătat de acord și Xenocrates din Chalcedon** [fr. 42 și urm. Heinze], **care admitea că tot ce e susceptibil de împărțire e o pluralitate (partea fiind altceva decât întregul)... și că există anumite linii indivizibile, în cazul cărora se adeverește că nu sunt pluralități**[27].

23. SIMPL., *Phys.*, 134, 2 [comentariu la Aristot., *Phys.*, A 3. 187 a 1] **Unii, zice el, s-ar fi declarat de acord cu amândouă argumentările, cu aceea pomenită a lui Parmenides și cu aceea a lui Zenon, care vroia să dea ajutor lui Parmenides împotriva celor ce umblau să-l ia în derâdere, sub cuvânt că, dacă ființa e una, se ajunge pe calea acestui raționament la încheieri numeroase și ridicole, unele chiar în contradicție cu el; împotriva acestora, Zenon a arătat că, dezvoltată cum trebuie, ipoteza lor – potrivit căreia «ființele sunt multe» – comportă urmări și mai ridicole decât cea după care ființa e una.** [PLUT.,] *Strom.*, 5 [D. 581] **Zenoneleatuln-a stabilit nimic original, ci mai mult a exprimat îndoieli în jurulacestor subiecte.** [AËT., IV, 9, 1 Cf. *Parm.*, fr. A 49, *supra*, p. 109].

24. ARISTOT., *Phys.*, Δ 3. 210 b 22 **NedumerirealuiZenon: «dacă spațiul există, în ce va fi stând?» nu e greu de lămurit. Nimic nu se opune, într-adevăr, ca primul spațiu să se afle în altceva, dar**

ἐν τόπωι ἐκείνωι κτλ. – 1. 209a 23 ἡ γὰρ Ζήνωνος ἀπορία ζητεῖ τινα λόγον· εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπωι, δῆλον ὅτι καὶ τοῦ τόπου τόπος ἔσται, καὶ τοῦτο εἰς ἄπειρον πρόεισιν. EUDEM., Phys., fr. 42 [SIMPL., Phys., 563, 17] ἐπὶ ταὐτὸ δὲ καὶ ἡ Ζήνωνος ἀπορία φαίνεται ἄγειν. ἀξιοῖ γὰρ πᾶν τὸ ὂν ποῦ εἶναι· εἰ δὲ ὁ τόπος τῶν ὄντων, ποῦ ἂν εἴη; οὐκοῦν ἐν ἄλλωι τόπωι κἀκεῖνος δὴ ἐν ἄλλωι καὶ οὕτως εἰς τὸ πρόσω ... πρὸς δὲ Ζήνωνα φήσομεν πολλαχῶς τὸ ποῦ λέγεσθαι· εἰ μὲν οὖν ἐν τόπωι ἠξίωκεν εἶναι τὰ ὄντα, οὐ καλῶς ἀξιοῖ· οὔτε γὰρ ὑγείαν οὔτε ἀνδρίαν οὔτε ἄλλα μυρία φαίη τις ἂν ἐν τόπωι εἶναι· οὐδὲ δὴ ὁ τόπος τοιοῦτος ὢν οἷος εἴρηται. εἰ δὲ ἄλλως τὸ ποῦ, κἂν ὁ τόπος εἴη ποῦ· τὸ γὰρ τοῦ σώματος πέρας ἐστὶ τοῦ σώματος ποῦ· ἔσχατον γάρ.

25. ARISTOT., Phys., Z 9. 239b 9 τέτταρες δ' εἰσὶν οἱ λόγοι περὶ κινήσεως Ζήνωνος οἱ παρέχοντες τὰς δυσκολίας τοῖς λύουσιν, πρῶτος μὲν ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος, περὶ οὗ διείλομεν ἐν τοῖς πρότερον λόγοις, 2. 233 a 21: διὸ καὶ ὁ Ζήνωνος λόγος ψεῦδος λαμβάνει τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν ἢ ἅψασθαι τῶν ἀπείρων καθ' ἕκαστον ἐν πεπερασμένωι χρόνωι. διχῶς γὰρ λέγεται καὶ τὸ μῆκος καὶ ὁ χρόνος ἄπειρον, καὶ ὅλως πᾶν τὸ συνεχές, ἤτοι κατὰ διαίρεσιν ἢ τοῖς ἐσχάτοις. τῶν μὲν οὖν κατὰ ποσὸν ἀπείρων οὐκ ἐνδέχεται ἅψασθαι ἐν πεπερασμένωι χρόνωι, τῶν δὲ κατὰ διαίρεσιν ἐνδέχεται· καὶ γὰρ αὐτὸς ὁ χρόνος οὕτως ἄπειρος. ὥστε ἐν τῶι ἀπείρωι καὶ οὐκ ἐν τῶι πεπερασμένωι συμβαίνει διιέναι τὸ ἄπειρον, καὶ ἅπτεσθαι τῶν ἀπείρων τοῖς ἀπείροις, οὐ τοῖς πεπερασμένοις. (Parafraza acestui pasaj în SIMPL., Phys., 947, 3 şi urm.). ARISTOT., Top., Θ 8. 160b 7 πολλοὺς γὰρ λόγους ἔχομεν ἐναντίους ταῖς δόξαις, καθάπερ Ζήνωνος, ὅτι οὐκ ἐνδέχεται

nu ca într-un loc... – *Ibid.*, 1. 209 a 23 Obiecția ridicată de Zenon cere o oarecare discuție. Căci, dacă toată ființa e cuprinsă într-un spațiu, e evident că va trebui să existe un spațiu al spațiului, și așa la nesfârșit. EUDEM., *Phys.*, fr. 42 [SIMPL., *Phys.*, 563, 17] Tot într-acolo pare să ducă și obiecția lui Zenon. Într-adevăr, acesta credea că toată ființa trebuie să se găsească în ceva; dacă, însă, spațiul se numără și el printre ființe, în ceva sta? De bună seamă nu într-un alt spațiu, și acesta într-altul, și așa mai departe... [28]. Împotriva luiZenon, vom observa că «în» se poate înțelege în multe chipuri. Dacă, prin urmare, a crezut că ființele se găsesc într-un spațiu, rău a crezut: nimeni nu va pretinde doar că sănătatea sau bărbăția sau mii de alte lucruri de felul acesta se găsesc undeva în spațiu, și nici spațiul, dacă e așa cum am spus. Dacă, însă, «în» se poate înțelege și altfel, atunci spațiul ar putea fi și el în ceva: marginea trupului, bunăoară, este în trup doar extremitatea lui.

25. ARISTOT., *Phys.*, Z 9. 239 b 9 Patru sunt argumentele lui Zenon în legătură cu mișcarea, ce prezintă greutăți cui vrea să le dezlege. Primul e cel care tăgăduiește mișcarea[29], sub cuvânt că, inainte de a ajunge la capăt, mobilul trebuie să ajungă la jumătate[30], – argument de care ne-am ocupat mai înainte [2. 233 a 21]... Aci stă greșeala raționamentului lui Zenon: în aceea că nu admite că, într-un timp finit, se pot străbate sau atinge succesiv infinite puncte spațiale. Într-adevăr, despre lungime și timp, ca despre orice continuitate, se poate spune că sunt infinite într-un îndoit înțeles: ca împărțire și ca margini. Când e vorba de infinite sub raportul cantitativ, acestea nu pot fi atinse într-un timp finit; dar pot fi atinse infinitele sub raportul împărțelii, înțeles în care însuși timpul e infinit. Așa fiind, infinitul e străbătut într-un timp infinit, iar nu într-unul finit, și <în mișcare> infinite puncte spațiale sunt atinse în cursul unor durate infinite nu finite[31]... [Parafraza acestui pasaj în SIMPL., *Phys.*, 947, 3 și urm.]. ARISTOT., *Top.*, Θ 8. 160 b 7 Împotriva opiniei comune se pot produce argumente numeroase, cum sunt cele ale lui Zenon, care nu admite mișcarea, nici că

κινεῖσθαι οὐδὲ τὸ στάδιον διελθεῖν.

26. —— Z 9. 239b 14 δεύτερος δ' ὁ καλούμενος Ἀχιλλεύς. ἔστι δ' οὗτος ὅτι τὸ βραδύτατον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον, ὅθεν ὥρμησε τὸ φεῦγον, ὥστ' ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον. ἔστι δὲ καὶ οὗτος ὁ αὐτὸς λόγος τῶι διχοτομεῖν, διαφέρει δ' ἐν τῶι διαιρεῖν μὴ δίχα τὸ προσλαμβανόμενον μέγεθος.

27. —— Z 9. 239 b 30 τρίτος δ' ὁ νῦν ῥηθείς, ὅτι ἡ ὀιστὸς φερομένη ἕστηκεν. συμβαίνει δὲ παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν· μὴ διδομένου γὰρ τούτου οὐκ ἔσται ὁ συλλογισμός. Cf. 239b 5 Ζήνων δὲ παραλογίζεται· εἰ γὰρ ἀεί, φησίν, ἠρεμεῖ πᾶν ἢ κινεῖται, <οὐδὲν δὲ κινεῖται>, ὅταν ἦι κατὰ τὸ ἴσον, ἔστι δ' ἀεὶ τὸ φερόμενον ἐν τῶι νῦν, <πᾶν δὲ κατὰ τὸ ἴσον ἐν τῶι νῦν>, ἀκίνητον τὴν φερομένην εἶναι ὀιστόν.

28. —— Z 9. 239 b 33 τέταρτος δ' ὁ περὶ τῶν ἐν σταδίωι κινουμένων ἐξ ἐναντίας ἴσων ὄγκων παρ' ἴσους, τῶν μὲν ἀπὸ τέλους τοῦ σταδίου τῶν δ' ἀπὸ μέσου, ἴσωι τάχει, ἐν ὧι συμβαίνειν οἴεται ἴσον εἶναι χρόνον τῶι διπλασίωι τὸν ἥμισυν. ἔστι δ' ὁ παραλογισμὸς ἐν τῶι τὸ μὲν παρὰ κινούμενον τὸ δὲ παρ' ἠρεμοῦν τὸ ἴσον μέγεθος ἀξιοῦν τῶι ἴσωι τάχει τὸν ἴσον φέρεσθαι χρόνον. τοῦτο δ' ἐστὶ ψεῦδος. οἷον ἔστωσαν οἱ ἑστῶτες ἴσοι ὄγκοι ἐφ' ὧν τὰ ΑΑ, οἱ δ' ἐφ' ὧν τὰ ΒΒ ἀρχόμενοι ἀπὸ τοῦ μέσου τῶν Α, ἴσοι τὸν ἀριθμὸν τούτοις ὄντες καὶ τὸ μέγεθος, οἱ δ' ἐφ' ὧν τὰ ΓΓ ἀπὸ τοῦ ἐσχάτου, ἴσοι τὸν ἀριθμὸν ὄντες τούτοις καὶ τὸ μέγεθος, καὶ ἰσοταχεῖς τοῖς Β. συμβαίνει δὴ τὸ πρῶτον Β ἅμα ἐπὶ τῶι ἐσχάτωι εἶναι καὶ τὸ πρῶτον Γ, παρ' ἄλληλα κινο-

stadiul poate fi străbătut.

26. — — Z 9. 239 b 14 Al doilea e argumentul zis «Achille». Potrivit acestuia, zăbavnicul nu va fi ajuns nicicând în fugă de altul mai iute, pentru că cel ce urmărește trebuie să ajungă mai întâi în chip obligatoriu acolo de unde a pornit cel ce fuge, așa că în chip obligatoriu zăbavnicul se va găsi de fiecare dată înainte. Argumentul acesta e tot una cu argumentul împărțirii în două: deosebirea stă în aceea că mărimea succesiv atinsă nu mai e dată în două[32].

27. — — Z 9. 239 b 30 Al treilea e cel acum pomenit: că săgeata zvârlită stă pe loc. Acesta se întemeiază pe presupunerea că timpul e alcătuit dintr-o succesiune de prezente: fără ea, raționamentul dă greș. Cf. 239 b 5 Zenon face un raționament greșit: dacă, zice el, orice lucru e fie nemișcat, fie în mișcare <și nimic nu se mișcă> atâta vreme cât ocupă un loc egal cu sine însuși; dacă orice lucru în mișcare se găsește mereu într-o clipă <și în fiece clipă ocupă un spațiu egal cu sine>, urmează că săgeata zvârlită e în nemișcare[33].

28. — — Z 9. 239 b 33 Al patrulea e acel al masselor[34] ce se mișcă în stadiu[35] – în șiruri egale și paralele, în sens contrariu, cu viteză egală – unele de la sfârșitul stadiului, altele de la jumătatea lui: cu el crede a arăta că timpul jumătate e egal cu timpul îndoit[36]. Greșeala raționamentului stă în a presupune că o mărime are nevoie de același timp pentru a trece de-a lungul unei mărimi egale, fie că aceasta se mișcă cu o viteză egală, fie că stă pe loc: ceea ce e un neadevăr. Fie, bunăoară, massele egale, nemișcate, A A, de care a fost vorba, apoi massele B B, începând[37] de la jumătatea masselor A, egale cu ele în număr și mărime, apoi massele Γ Γ, <începând> de la sfârșit, egale în număr și mărime cu celelalte și în viteză cu B. Se va întâmpla că primul B și primul Γ – mișcându-se paralel – vor ajunge la capăt[38] odată;

υμένων. συμβαίνει δὲ καὶ τὸ Γ παρὰ πάντα τὰ Β διεξεληλυθέναι, τὰ δὲ Β παρὰ τὰ <Α> ἡμίση· ὥστε ἥμισυν εἶναι τὸν χρόνον· ἴσον γὰρ ἑκάτερόν ἐστι παρ' ἕκαστον. ἅμα δὲ συμβαίνει τὰ Β παρὰ πάντα τὰ Γ παρεληλυθέναι· ἅμα γὰρ ἔσται τὸ πρῶτον Γ καὶ τὸ πρῶτον Β ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις, ἴσον χρόνον παρ' ἕκαστον γινόμενον τῶν Β ὅσον περ τῶν Α, ὥς φησι, διὰ τὸ ἀμφότερα ἴσον χρόνον παρὰ τὰ Α γίγνεσθαι. Simpl. 1019, 32 ὁ μὲν οὖν λόγος τοιοῦτός ἐστιν εὐηθέστατος ὤν, ὥς φησιν Εὔδημος (fr. 68), διὰ τὸ προφανῆ τὸν παραλογισμὸν ἔχειν ... τὰ γὰρ ἀντικινούμενα ἀλλήλοις ἰσοταχῆ διπλασίαν ἀφίσταται διάστασιν ἐν τῶι αὐτῶι χρόνωι, ἐν ὧι τὸ παρὰ ἠρεμοῦν κινούμενον τὸ ἥμισυ διίσταται, κἂν ἰσοταχὲς ἐκείνοις ἦι. Figura lui Alexandru [în SIMPL., Phys., 1016, 14 şi urm. Cf. 1019, 27]:



Α ὄγκοι ἑστῶτες
Β ὄγκοι κινούμενοι ἀπὸ τοῦ Δ ἐπὶ τὸ Ε
Γ ὄγκοι κινούμενοι ἀπὸ τοῦ Ε ἐπὶ τὸ Δ
Δ ἀρχὴ τοῦ σταδίου Ε τέλος τοῦ σταδίου

29. — — Η 5. 250 a 19 διὰ τοῦτο ὁ Ζήνωνος λόγος οὐκ ἀληθής, ὡς ψοφεῖ τῆς κέγχρου ὁτιοῦν μέρος· οὐδὲν γὰρ κωλύει μὴ κινεῖν τὸν ἀέρα ἐν μηδενὶ χρόνωι τοῦτον ὃν ἐκίνησεν πεσὼν ὁ ὅλος μέδιμνος. Cf. SIMPL., 1108, 18 διὰ τοῦτο λύει καὶ τὸν Ζήνωνος τοῦ Ἐλεάτου λόγον, ὃν ἤρετο Πρωταγόραν τὸν σοφιστήν. 'εἰπὲ γάρ μοι, ἔφη, ὦ Πρωταγόρα, ἆρα ὁ εἷς κέγχρος καταπεσὼν ψόφον ποιεῖ ἢ τὸ μυριοστὸν τοῦ κέγχρου;' τοῦ δὲ εἰπόντος μὴ ποιεῖν 'ὁ δὲ μέδιμνος, ἔφη, τῶν κέγχρων καταπεσὼν ποιεῖ ψόφον ἢ οὔ;' τοῦ δὲ

că Γ va fi trecut pe dinaintea tuturor masselor B, câtă vreme massele B numai pe lângă jumătate din massele A: ceea ce înseamnă că timpul e jumătate și că, pentru a trece de-a lungul celeilalte, fiecare massă are nevoie de un timp egal. Se va întâmpla iarăși că massele B vor fi trecut pe lângă toate massele Γ: primul B și primul Γ se vor găsi în același timp la extremitățile opuse, <Γ> având nevoie, pentru a trece pe lângă fiecare din massele B, de un timp egal cu cel întrebuințat <de B> pentru a trece pe lângă fiecare din massele A, întrucât, cum susține <Zenon>, și unele și celelalte au nevoie de un timp egal pentru a trece de-a lungul masselor A[39]. – SIMPL., 1019, 32 Așa cum e înfățișat, raționamentul acesta e din cale afară de simplist, observă Eudemos (fr. 68), întrucât lasă să se vadă greșeala de judecată... Într-adevăr, două masse mișcându-se în sens contrar cu o iuțeală egală lasă între ele, într-un timp dat, o distanță de două ori mai mare decât aceea cu care – în același timp și cu aceeași iuțeală – s-ar depărta o massă deplasându-se pe dinaintea unei masse nemișcate. Figura lui Alexandru (în SIMPL., *Phys.*, 1016, 14 și urm. Cf. 1019, 27):



A masse în nemișcare
B masse mișcându-se de la Δ la E
Γ masse mișcându-se de la E la Δ
Δ începutul stadiului E sfârșitul stadiului.

29. — — H 5. 250 a 19 Aci stă greșeala raționamentului lui Zenon: când pretinde că, <lăsată să cadă>, orice părticică a unui bob de mei face zgomot. În realitate, nimic nu se opune ca grăuntele să nu fie în stare să deplaseze în nici un timp aerul pe care în căderea ei îl deplasează o baniță întreagă. Cf. SIMPL., 1108, 18 În felul acesta răspunde și la întrebarea pe care Zenon eleatul o punea sofistului Protagoras. «Spune-mi, Protagoras, zicea el, un grăunte de mei ori a zecea mia parte dintr-un grăunte, lăsate să cadă, fac oare zgomot?». Și, cum acela răspundea că nu: «Dar o baniță de mei, în cădere, face zgomot ori ba?». De data aceasta

ψοφεῖν εἰπόντος τὸν μέδιμνον ‘τί οὖν, ἔφη ὁ Ζήνων, οὐκ ἔστι λόγος τοῦ μεδίμνου τῶν κέγχρων πρὸς τὸν ἕνα καὶ τὸ μυριοστὸν τὸ τοῦ ἑνός;’ τοῦ δὲ φήσαντος εἶναι ‘τί οὖν, ἔφη ὁ Ζήνων, οὐ καὶ τῶν ψόφων ἔσονται λόγοι πρὸς ἀλλήλους οἱ αὐτοί; ὡς γὰρ τὰ ψοφοῦντα, καὶ οἱ ψόφοι· τούτου δὲ οὕτως ἔχοντος, εἰ ὁ μέδιμνος τοῦ κέγχρου ψοφεῖ, ψοφήσει καὶ ὁ εἷς κέγχρος καὶ τὸ μυριοστὸν τοῦ κέγχρου’. ὁ μὲν οὖν Ζήνων οὕτως ἠρώτα τὸν λόγον.

30. AËT., I 7, 27 (D. 303) **Μέλισσος καὶ Ζήνων τὸ ἓν καὶ πᾶν** [sc. **θεὸν εἶναι**] **καὶ μόνον ἀίδιον καὶ ἄπειρον τὸ ἕν.**

răspunzând afirmativ, din nou l-a întrebat: «Cum adică, să nu existe o proporție între o baniță de mei și un singur grăunte ori a zecea mia parte a unui grăunte?». Acela răspunzându-i că există, – «dacă-i așa, a mai zis, aceleași proporții să nu fie și între sunete? Cum e cu corpurile sonore, la fel și cu sunetele. Iar de-i așa, dacă banița de mei face zgomot, va face zgomot și un singur grăunte ori a zecea mia parte a unui grăunte». În felul acesta își formula întrebarea Zenon[40].

30. AËT., I 7, 27 (D. 303) Melissos și Zenon zic că <zeul e> Unul și Totul și că unic, veșnic și nemărginit e Unul[41].

ΖΗΝΩΝΟΣ ΠΕΡΙ ΦΥΣΕΩΣ

1. SIMPL., Phys., 140, 3 4 [după fr. B 3] τὸ δὲ κατὰ μέγεθος [ἄπειρον ἔδειξε] πρότερον κατὰ τὴν αὐτὴν ἐπιχείρησιν. προδείξας γὰρ ὅτι 'εἰ μὴ ἔχοι μέγεθος τὸ ὄν, οὐδ' ἂν εἴη', ἐπάγει 'εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ πάχος καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγος. καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τι. ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν· οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχατον ἔσται οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται. οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι'.

2. — — 139, 5 ἐν μέντοι τῶι συγγράμματι αὐτοῦ πολλὰ ἔχοντι ἐπιχειρήματα καθ' ἕκαστον δείκνυσιν, ὅτι τῶι πολλὰ εἶναι λέγοντι συμβαίνει τὰ ἐναντία λέγειν· ὧν ἔν ἐστιν ἐπιχείρημα, ἐν ὧι δείκνυσιν ὅτι 'εἰ πολλά ἐστι, καὶ μεγάλα ἐστὶ καὶ μικρά· μεγάλα μὲν ὥστε ἄπειρα τὸ μέγεθος εἶναι, μικρὰ δὲ οὕτως ὥστε μηθὲν ἔχειν μέγεθος' [B 1]. ἐν δὴ τούτωι δείκνυσιν, ὅτι οὐ μήτε μέγεθος μήτε πάχος μήτε ὄγκος μηθείς ἐστιν, οὐδ' ἂν εἴη τοῦτο. 'εἰ γὰρ ἄλλωι ὄντι, φησί, προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος

B) FRAGMENTE

ZENON DESPRE NATURĂ

1. SIMPL., *Phys.*, 140, 34 [după B 3] Cât privește infinitul sub raportul mărimii[1], l-a dovedit dinainte cu ajutorul aceleiași argumentări. Într-adevăr, după ce a arătat mai întâi că, «dacă ființa n-ar avea mărime, nici n-ar exista», continuă: «dacă există, trebuie ca fiece <lucru> să aibă neapărat o oarecare mărime și grosime și să se deosebească de lucrul care – față de el și de oricare – e altul[2]. Cât despre ceea ce vine înaintea lui, raționamentul e același: doar și acesta va fi înzestrat cu mărime, iar înaintea lui va veni ceva. A spune lucrul acesta o dată e tot una cu a-l spune necontenit: căci – față de un lucru dat – nici unul din celelalte nu va fi vreodată cel din urmă, și iarăși, față de <ceea ce am numit> *altul*, nicicând nu va lipsi <la rându-i> un altul[3]. Astfel, dacă <ființele> sunt multe, ele trebuie să fie numaidecât micișimari: mici, până a nu mai avea mărime, mari, până a fi nemărginite».

2. — — 139, 5 În scrierea lui, în care sunt cuprinse multe argumentări, arată de fiecare dată că cine afirmă pluralitatea ființei ajunge să se contrazică. Una dintre argumentări e aceea prin care dovedește că «dacă <ființele> sunt multe, acestea sunt și mari, și mici: mari, până a atinge o mărime nesfârșită, mici, până a nu mai avea mărime». [B 1]. Tot acolo arată că ceea ce n-are nici mărime, nici grosime, nici vreun volum, nu există. «Într-adevăr, – zice el, – dacă s-ar adăuga unei alte ființe, n-ar face-o cu nimic mai mare: căci ceea ce n-are nici o mărime, oricât l-am adăuga <unui alt lucru>, nu-l poate câtuși de puțin spori[4]: ceea ce s-ar

ἐπιδοῦναι. καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται, δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον᾽. καὶ ταῦτα οὐχὶ τὸ ἓν ἀναιρῶν ὁ Ζήνων λέγει, ἀλλ᾽ ὅτι μέγεθος ἔχει ἕκαστον τῶν πολλῶν καὶ ἀπείρων τῶι πρὸ τοῦ λαμβανομένου ἀεί τι εἶναι διὰ τὴν ἐπ᾽ ἄπειρον τομήν· ὃ δείκνυσι προδείξας, ὅτι οὐδὲν ἔχει μέγεθος ἐκ τοῦ ἕκαστον τῶν πολλῶν ἑαυτῶι ταὐτὸν εἶναι καὶ ἕν.

3. — — 140, 27 καὶ τί δεῖ πολλὰ λέγειν, ὅτε καὶ ἐν αὐτῶι φέρεται τῶι τοῦ Ζήνωνος συγγράμματι; πάλιν γὰρ δεικνύς, ὅτι εἰ πολλά ἐστι, τὰ αὐτὰ πεπερασμένα ἐστὶ καὶ ἄπειρα, γράφει ταῦτα κατὰ λέξιν ὁ Ζ.·

ʻεἰ πολλά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα. εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστί, πεπερασμένα ἂν εἴη.

εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστί, καὶ πάλιν ἐκείνων ἕτερα μεταξύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί᾽. καὶ οὕτως μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομίας ἔδειξε.

4. DIOG. LAËRT., IX 72 οὐ μὴν ἀλλὰ καὶ Ξενοφάνης καὶ Ζ. ὁ Ἐλεάτης καὶ Δημόκριτος κατ᾽ αὐτοὺς [discipolii lui Pyrrhon] σκεπτικοὶ τυγχάνουσιν ... Ζ. δὲ τὴν κίνησιν ἀναιρεῖ λέγων ʻτὸ κινούμενον οὔτ᾽ ἐν ὧι ἔστι τόπωι κινεῖται οὔτ᾽ ἐν ὧι μὴ ἔστι᾽.

adăuga ar fi nimic. Și iarăși, dacă, scăzut, nu face ca <ființa din care se scade> să se micșoreze, nici – adăugat – să crească, e limpede că și ceea ce se adăuga și ceea ce se scădea era nimic». Acestea le spune Zenon nu pentru a tăgădui Unul, ci pentru că – din nesfârșitele elemente ale unei pluralități – fiecare își are mărimea lui, înaintea oricărui element considerat găsindu-se de fiecare dată ceva, mulțumită împărțirii la nesfârșit. Iată dar ce susține, după ce mai înainte arătase că nimicn-are mărime, de vreme ce, din multele <elemente ale unei pluralități>, fiecare e identic cu sine și unu.

3. —— 140, 27 La ce bun atâtea vorbe, când lucrurile acestea se găsesc chiar în lucrarea lui Zenon? Într-adevăr, după ce o dată mai mult arată că, dacă ființele sunt multe, sunt totodată numărate și nenumărate, scrie textual cele ce urmează: «dacă <ființele>sunt multe, e necesar să fie atâtea câte sunt, și nu mai multe, nici mai puține. Iar dacă sunt câte sunt, sunt numărate. Dacă sunt multe, ființele sunt nenumărate: căci printre ele se găsesc mereu alte <ființe>, și tot așa, printre acestea, altele. În felul acesta, ființele sunt nenumărate». Astfel, cu ajutorul împărțirii în două, a dovedit infinitul numeric[5].

4. DIOG. LAËRT., IX 72 Nu numai atât, dar, după ei [*discipolii lui Pyrrhon*], și Xenofanes șiZenon eleatul și Democrit sunt sceptici... Zenon[6], bunăoară, tăgăduiește mișcarea, atunci când zice: «ceea ce se mișcă nu se mișcă nici în locul unde e, nici în acela unde nu e»[7].

MELISSOS

1. DIOG. LAËRT., IX 24 Μέλισσος Ἰθαιγένους Σάμιος. οὗτος ἤκουσε Παρμενίδου. (ἀλλὰ καὶ εἰς λόγους ἦλθεν Ἡρακλείτωι· ὅτε καὶ συνέστησεν αὐτὸν τοῖς Ἐφεσίοις ἀγνοοῦσι, καθάπερ Ἱπποκράτης Δημόκριτον Ἀβδηρίταις). γέγονε δὲ καὶ πολιτικὸς ἀνὴρ καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος· ὅθεν ναύαρχος αἱρεθεὶς ἔτι καὶ μᾶλλον ἐθαυμάσθη διὰ τὴν οἰκείαν ἀρετήν.

ἐδόκει δὲ αὐτῶι τὸ πᾶν ἄπειρον εἶναι καὶ ἀναλλοίωτον καὶ ἀκίνητον καὶ ἓν ὅμοιον ἑαυτῶι καὶ πλῆρες· κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. ἀλλὰ καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.

φησὶ δ' Ἀπολλόδωρος F GrHist. 244 F 72 II 1040 ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα [444–41 a.C.]. Cf. Eus. s. Ol. 84, 1.

2. SUIDAS s.v. Μέλητος Λάρου ... καὶ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων. οὗτος ἔγραψε Περὶ τοῦ ὄντος. καὶ ἀντεπολιτεύσατο δὲ Περικλεῖ· καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικόν, ὀλυμπιάδι ὀγδοηκοστῆι τετάρτηι [444/1].

3. PLUT., Pericl., 26 şi urm. (26) πλεύσαντος γὰρ αὐτοῦ [Pericles] Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν, ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες πολλὰς δὲ ναῦς

A) VIAȚA ȘI ÎNVĂȚĂTURA

1. DIOG. LAËRT., IX 24 **Melissos, fiul lui Ithagenes, de fel din Samos. A fost elevul lui Parmenides. (A fost totuși în legătură și cu Heraclit[1], pe care l-a făcut cunoscutefesienilor neștiutori, așa cum Hippocrate l-a făcut cunoscut abderitanilorpe Democrit). A fost și om politic și s-a învrednicit de prețuirea concetățenilor săi. Ales comandant al flotei, și-a meritat încă și mai mult admirația lor prin destoinicia sa.**

Era de părere că Totul e nesfârșit și neschimbat și nemișcat și unu și identic cu sine și plin; că mișcare nu există, dar că dă iluzia că există. Despre zei spunea că nu trebuie să emitem vreo părere, căci o cunoaștere a lor e cu neputință.

Apollodoros [*F.Gr.Hist.* 244 F 72 II 1040] **pretinde că ar fi atins vârsta bărbăției în jurul celei de a 84-a olympiade** [444/41 a. C.]. Cf. Eus. s. Ol. 84, 1.

2. SUIDAS s.v. **Melitos al lui Laros... a trăit pe vremea lui Zenon din Elea și a lui Empedocles. A scris un tratat *Despre ființă*. A fost și adversar al lui Pericle și, în fruntea samienilor, a dat și o luptă navală, având ca adversar pe dramaturgul Sofocle, în cea de a 84-a olympiadă** [444/41 a. C.].

3. PLUT., *Viața lui Pericle*, 26 și urm. (26) **Pe când Pericle se găsea pe mare, Melissos, fiul lui Ithagenes, un filosof care era atunci în fruntea samienilor, plin de dispreț pentru numărul restrâns al corăbiilor ateniene, sau, poate, pentru lipsa de pricepere a comandanților, și-a convins concetățenii să atace. După ce s-a dat bătălia și au învins, luând robi mulți atenieni și distrugând**

διαφθείραντες ἐχρῶντο τῆι θαλάσσηι καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον. ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης [fr. 577 din Πολιτεία Σαμίων] ἡττηθῆναι ναυμαχοῦντα πρότερον. οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γάρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν ... πρὸς ταῦτα τά στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ἠνίχθαι Σαμίων ὁ δῆμός ἐστιν... ὡς πολυγράμματος' [ARISTOT., ibid., fr. 575]. (27) πυθόμενος δ' οὖν ὁ Περικλῆς τὴν ἐπὶ στρατοπέδου συμφορὰν ἐβοήθει κατὰ τάχος καὶ τοῦ Μελίσσου πρὸς αὐτὸν ἀντιταξαμένου κρατήσας καὶ τρεψάμενος τοὺς πολεμίους εὐθὺς περιετείχιζε, δαπάνηι καὶ χρόνωι μᾶλλον ἢ τραύμασι καὶ κινδύνοις τῶν πολιτῶν περιγενέσθαι καὶ συνελεῖν τὴν πόλιν βουλόμενος ... (28) ἐνάτωι δὲ μηνὶ [vara anului 440] τῶν Σαμίων παραστάντων ὁ Περικλῆς τὰ τείχη καθεῖλε καὶ τὰς ναῦς παρέλαβε καὶ χρήμασι πολλοῖς ἐζημίωσεν, ὧν τὰ μὲν εὐθὺς εἰσήνεγκαν οἱ Σάμιοι, τὰ δ' ἐν χρόνωι ῥητῶι ταξάμενοι κατοίσειν ὁμήρους ἔδωκαν. Δοῦρις δ' ὁ Σάμιος [F GrHist. 76 F 67 II 154] τούτοις ἐπιτραγωιδεῖ πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης [I 117] ἱστόρηκεν οὔτ' Ἔφορος [F GrHist. 70 F 195 II 98] οὔτ' Ἀριστοτέλης [fr. 578]. Cf. Themist., 2 καίτοι Στησίμβροτος [F GrHist. 107 F 1 II 516] Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος. Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. Cf. Adv. Colot., 32, p. 1126 B; Ael., Var. hist., VII 14.

4. SIMPL., Phys., 70, 16 3 ὁ Μ. καὶ τὴν ἐπιγραφὴν οὕτως ἐποιήσατο τοῦ συγγράμματος Περὶ φύσεως ἢ περὶ τοῦ ὄντος.

multe corăbii, samienii au prins să se afirme pe mare, pregătindu-și toate cele trebuitoare războiului, de care fuseseră lipsiți înainte. Aristotel [fr. 577: din *Constituția samienilor*] susține că, într-o bătălie anterioară, Melissos l-ar fi învins pe însuși Pericle. Pe fruntea prizonierilor atenieni, samienii au însemnat cu fierul roșu câte o bufniță, ca să-și răzbune de faptul că și atenienii îi însemnaseră pe ei cu o corabie... La semnele acestea se zice că s-ar referi versul lui Aristofan: «Neamul samienilor... tare-i priceput la scris...» [Aristot., *ibid.*, fr. 575] (27). Când a aflat de înfrângerea flotei, Pericle a pornit iute într-ajutor și, învingându-l pe Melissos, care-i sta împotrivă, și punând pe fugă pe vrăjmași, îndată le-a înconjurat cetatea, nădăjduind s-o cucerească cu trecerea vremii și cu istovirea mijloacelor mai curând decât cu rănile și suferințele pricinuite cetățenilor... (28). După nouă luni, când samienii s-au predat [vara anului 440], Pericle le-a dărâmat zidurile, le-a luat corăbiile și i-a supus la plata unei mari sume de bani, din care o parte au plătit-o îndată, iar alta au făgăduit s-o plătească cu vremea, dând ostatici. Duris Samianul [*F.Gr.Hist.* 76 F 67 II 154] dramatizează episodul, punând în seama atenienilor și a lui Pericle o cruzime de care nu pomenesc nici Thukydide II 117], nici Eforos [*F.Gr.Hist.* 70 F 195 II 98], nici Aristotel [fr. 578]. Cf. *Viața lui Temistocle*, 2... și totuși Stesimbrotos [*F. Gr. Hist.* 107 F 1 II 51 6], fără să țină seamă de cronologie, pretinde că Temistocle ar fi ascultat lecțiile lui Anaxagoras și învățăturile lui Melissos naturalistul. În realitate, Pericle, care era cu mult mai tânăr decât Temistocle, l-a avut ca adversar pe Melissos, atunci când asedia pe samieni, iar cu Anaxagoras era prieten... Cf. *Adv. Colot.*, 32, p. 1126 B; Ael., *Var. hist.*, VII 14.

OPERA [Cf. A 2]

4. SIMPL., *Phys.*, 70, 16... Melissos a dat scrierii sale titlul: *Despre natură sau despre ființă*. – *De caelo*, 557, 10... iar dacă Me-

– De caelo, 557, 10 καὶ εἰ Περὶ φύσεως ἢ περὶ τοῦ ὄντος ἐπέγραψε M., δῆλον ὅτι τὴν φύσιν ἐνόμιζεν εἶναι τὸ ὄν. GAL., De el. sec. Hipp., I 9 (I 487 K., 54, 19 Helmr.); In Hipp. de nat. hom., XV 5 K.

5. ARISTOT. q. f. de Melisso Xenophane Gorgia c. 1. 2 după ediția îngrijită de Diels *Abh. d. Berl. Ak.* 1900. [Cf. scrierea lui Aristotel, Πρὸς τὰ Μελίσσου, cit. la Diog. Laërt., V 25].

[ΑΡΙΣΤΟΤΕΛΟΥΣ] ΠΕΡΙ ΜΕΛΙΣΣΟΥ

ed. Bekker p. 974a

c. 1. (1) Ἀίδιον εἶναί φησιν εἴ τ ι ἔστιν, εἴπερ μὴ ἐνδέχεσθαι γενέσθαι μηδὲν ἐκ μηδενός· εἴτε γὰρ ἅπαντα γέγονεν εἴτε μὴ πάντα, ἀίδια ἀμφοτέρως· ἐξ οὐδενὸς γὰρ γενέσθαι ἂν αὐτὰ γιγνόμενα. ἁπάντων τε γὰρ γιγνομένων οὐδὲν <ἂ ν> προϋπάρχειν· εἴτ᾽ ὄντων τινῶν ἀεὶ ἕτερα προσγίγνοιτο, πλέον ἂν καὶ μεῖζον τὸ ὂν γεγονέναι· ὧι δὲ πλέον καὶ μεῖζον, τοῦτο γενέσθαι ἂν ἐξ οὐδενός· <ἐν> τῶι γὰρ ἐλάττονι τὸ πλέον, <ὡς> οὐδ᾽ ἐν τῶι μικροτέρωι τὸ μεῖζον, οὐχ ὑπάρχειν. (2) ἀίδιον δὲ ὂν ἄπειρον εἶναι, ὅτι οὐκ ἔχει ἀρχὴν ὅθεν ἐγένετο, οὐδὲ τελευτὴν εἰς ὃ γιγνόμενον ἐτελεύτησέ ποτε. (3) πᾶν δὲ καὶ ἄπειρον ὂν <ἓν> εἶναι· εἰ γὰρ δύο ἢ πλέω εἴη, πέρατ᾽ ἂν εἶναι ταῦτα πρὸς ἄλληλα. (4) ἓν δὲ ὂν ὅμοιον εἶναι πάντα· εἰ γὰρ ἀνόμοιον, πλείω ὄντα οὐκ ἂν ἔτι ἓν εἶναι, ἀλλὰ πολλά. (5) ἀίδιον δὲ ὂν ἄμετρόν τε καὶ ὅμοιον πάντη ἀκίνητον εἶναι τὸ ἕν· οὐ γὰρ ἂν κινη-

lissos și-a ales ca titlu *Despre natură sau despre ființă*, e limpede că, în ochii lui, natura era una cu ființa. GAL., *De el. sec. Hipp.*, I 9 (I 487 K., 54, 19 Helmr.); *In Hipp. denat. hom.*, XV 5 K. = *CMG* V 9, 1, p. 5, 11.

ÎNVĂȚĂTURA 5

5. ARISTOT. *q. f. de Melisso Xenophane Gorgia*, cap. 1–2 (după ediția îngrijită de H. Diels, *Abh. d. Berl. Akad.*, 1900. Cf. scrierea lui Aristotel, *Despre învățătura lui Melissos*, cit. la Diog. Laërt., V 25).

Ed. Bekker 974 a c. 1. (1) Zice că, dacă ceva există, exis- ed. Bekker p. 974 a
tă dintotdeauna, de vreme ce nu e de admis că s-ar putea
naște ceva din nimic. Căci, fie că s-ar pretinde că toate
câte există sunt născute, fie că nu toate, în amândouă ca-
zurilepresupunerea e absurdă[2], întrucât, a admite că sunt 5
născute, înseamnă a admite că s-au putut naște din ni-
mic. Într-adevăr, dacă toate câte există s-au născut, înain-
tea lor n-a existat nimic; iar dacă unei părți dintotdeauna
existente ar veni să i se adauge altele necontenit, ființa ar
deveni tot mai multă și mai mare; dar elementeleprin care 10
ființa ar spori în număr și mărime s-ar naște din nimic:
căci mai multul nu se găsește în mai puțin, nici mai mare-
le în mai mic[3]. (2) Veșnică, ființa trebuie să fie și nemăr-
ginită, de vreme ce n-are un început, când s-a născut, nici
un sfârșit la care, ajungând, să piară. (3) Atotcuprinză- 15
toare și nemărginită, trebuie să fie și una; dacă ar fi două
sau mai multe, una pe alta s-ar mărgini[4]. (4) Una, trebu-
ie să fie și aceeași în toate părțile ei; căci, de n-ar fi aceeași,
fiind multiplă, n-ar mai fi una, ci multe[5]. (5) Veșnică fiind
și nemăsurată și aceeași în toate părțile ei, ființa unică 20

974a θῆναι μὴ εἴς τι ὑποχωρῆσαν. ὑποχωρῆσαι δὲ ἀνάγκην εἶναι ἤτοι εἰς πλῆρες ἰὸν ἢ εἰς κενόν· τούτων δὲ τὸ μὲν οὐκ ἂν δέξασθαι [τὸ πλῆρες], τὸ δὲ οὐκ εἶναι οὐδέν [ἢ τὸ κενόν]. (6) τοιοῦτον δὲ ὂν τὸ ἓν ἀνώδυνόν τε καὶ ἀνάλγητον ὑγιές τε καὶ ἄνοσον εἶναι οὔτε μετακοσμούμενον θέσει οὔτε ἑτεροιούμενον εἴδει οὔτε μιγνύμενον ἄλλωι· κατὰ πάντα γὰρ ταῦτα πολλά τε τὸ ἓν γίγνεσθαι καὶ τὸ μὴ ὂν τεκνοῦσθαι καὶ τὸ ὂν φθείρεσθαι ἀναγκάζεσθαι· ταῦτα δὲ ἀδύνατα εἶναι. (7) καὶ γὰρ εἰ τῶι μεμῖχθαι τὸ ἓν ἐκ πλειόνων λέγοιτο, καὶ εἴη πολλά τε καὶ κινούμενα εἰς ἄλληλα τὰ πράγματα, καὶ ἡ μίξις ἢ ὡς ἐν ἑνὶ σύνθεσις εἴη τῶν πλειόνων ἢ τῆι ἐπαλλάξει οἷον ἐπιπρόσθησις γίγνοιτο τῶν μιχθέντων· ἐκείνως μὲν ἂν διάδηλα χωριζόντων εἶναι τὰ μιχθέντα, ἐπιπροσθήσεως δ' οὔσης ἐν τῆι τρίψει γίγνεσθαι ἂν ἕκαστα φανερὰ ἀφαιρουμένων τῶν πρώτων τὰ ὑπ' ἄλληλα
974b 1 τεθέντα τῶν μιχθέντων· ὧν οὐδέτερον συμβαίνειν. (8) διὰ τούτων δὲ τῶν τρόπων κἂν εἶναι πολλὰ κἂν ἡμῖν ὦιετο φαίνεσθαι μόνως. ὥστε ἐπειδὴ οὐχ οἷόν τε οὕτως, οὐδὲ πολλὰ δυνατὸν εἶναι τὰ ὄντα, ἀλλὰ ταῦτα δοκεῖν οὐκ ὀρθῶς. πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὴν αἴσθησιν φαντάζεσθαι [ἀπατᾶν]· λόγον δ' οὔτ' ἐκεῖν' αἱρεῖν, ταῦτα γίγνεσθαι, οὔτε πολλὰ εἶναι τὸ ὄν, ἀλλὰ ἓν ἀίδιόν τε καὶ ἄπειρον καὶ πάντη ὅμοιον αὐτὸ αὑτῶι. (9) ἆρ' οὖν δεῖ πρῶτον μὲν μὴ πᾶσαν λαβόντα δόξαν ἄρχεσθαι, ἀλλ' αἳ μάλιστά εἰσι βέβαιοι; ὥστ' εἰ μὲν ἅπαντα τὰ δοκοῦντα μὴ ὀρθῶς ὑπολαμβάνεται, οὐθὲν ἴσως προσήκει οὐδὲ

trebuie să fie și nemișcată; căci nu s-ar putea mișca, ne- 974a
având în ce înainta. Într-adevăr, ca să înainteze, trebuie
numaidecât să evolueze fie în plin, fie în gol; din acestea,
însă, unul n-ar putea-o primi, iar celălalt nu-i nimic.
(6) Astfel fiind dar ființa unică, cată să mai fie încă ferită 25
de suferință și durere, teafără și nevătămată; așezarea să
nu și-o schimbe, la înfățișare să nu se prefacă[6], nici cu
altceva să nu se amestece: căci, dacă toate acestea s-ar
întâmpla, unitatea ar deveni neapărat multiplicitate,
neființa ar zămisli, iar ființa ar pieri: tot atâtea presupu- 30
neri imposibile. (7) Într-adevăr, și de s-ar pretinde că
unitatea rezultă din multiplicitate pe calea unui amestec,
ar trebui să admitem pe de o parte că lucrurile erau mul-
te și susceptibile de mișcare unele spre altele, pe de alta,
că amestecul însuși trebuie conceput fie ca o îmbinare a 35
mai multor elemente într-unul, fie ca un conglomerat re-
zultat din așezarea în straturi alternate a elementelor
amestecate[7]. În felul acesta, e limpede că amestecurile
ar fi amestecuri de elemente distincte; iar în cazul con- 1 974b
glomeratului, elementele suprapuse ar ieși la iveală prin
frecare, unul câte unul, pe măsură ce ar fi înlăturate. Dar
nici una, nici alta din aceste ipoteze nu se adeverește.
(8) În astfel de condiții, gândea el, ființa ar putea fi mul- 5
tiplă, chiarpărându-ni-se nouă una[8]. Pentru că, însă, nu-i
cu putință să fie așa, nu-i cu putință nici ca ființele să fie
multe, ci acestea ni se par astfel fără temei. Doar destule
alte lucruri ne închipuim[9], după mărturia simțurilor:
rațiunea însă nu ne lasă să credem[10] nici că acestea exis- 10
tă, nici că ființa ar fi multiplă, ci una, veșnică, nemărginită
și în toate părțile ei identică cu sine. (9) Ajunși în acest
punct, ne-am putea pune întrebarea dacă, din capullocu-
lui, nu trebuie cumva stabilit că nu se poate începe prin
acceptarea oricărei păreri, ci numai a celor mai înteme- 15
iate? În acest caz, dacă nu toate părerile pot fi acceptate

974b τούτωι προσχρῆσθαι τῶι δόγματι, <ὅτι> οὐκ ἄν ποτε
οὐδὲν γένοιτο ἐκ μηδενός. μία γάρ τίς ἐστι δόξα,
καὶ αὕτη τῶν οὐκ ὀρθῶν, ἣν ἐκ τοῦ αἰσθάνεσθαί
πως ἐπὶ πολλῶν πάντως ὑπειλήφαμεν. (10) εἰ δὲ μὴ
15 ἅπαντα ψευδῆ τὰ ἡμῖν φαινόμενα, ἀλλά τινές εἰσι
καὶ τούτων ὀρθαὶ ὑπολήψεις, ἢ ἐπιδείξαντα, ὅτι
αὗται τοιαῦται, ἢ τὰς μάλιστα δοκούσας ὀρθάς,
ταύτας ληπτέον· ἃς ἀεὶ βεβαιοτέρας εἶναι δεῖ ἢ αἳ
μέλλουσιν ἐξ ἐκείνων τῶν λόγων δειχθήσεσθαι.
(11) εἰ γὰρ καὶ εἶεν δύο δόξαι ὑπεναντίαι ἀλλήλαις,
20 ὥσπερ οἴεται (εἰ μὲν πολλά, γενέσθαι φησὶν ἀνάγκην
εἶναι ἐκ μὴ ὄντων· εἰ δὲ τοῦτο μὴ οἷόν τε, οὐκ εἶναι
τὰ ὄντα πολλά· ἀγένητον γὰρ ὄν, εἴ τι ἔστιν, ἄπειρον
εἶναι. εἰ δ' οὕτως, καὶ ἕν), ὁμοίως μὲν δὴ ἡμῖν ὁ<μο-
λογουμένων> ἀμφοτέρων π<ροτάσεων> οὐδὲν μᾶλ-
λον, ὅτι ἓν ἢ ὅτι πολλά, δείκνυται. εἰ δὲ βέβαιος
25 μᾶλλον ἡ ἑτέρα, τἀπὸ ταύτης ξυμπερανθέντα μᾶλλον
δέδεικται. (12) τυγχάνομεν δὲ ἔχοντες ἀμφοτέρας
27 τὰς ὑπολήψεις ταύτας, καὶ ὡς ἂν οὐ γένοιτ' ἂν οὐδὲν
27a ἐκ μηδενὸς [ὄντος] <καὶ ὡς> πολλά τε καὶ κινούμενά
[μέν] ἐστι τὰ ὄντα. ἀμφοῖν δὲ πιστὴ μᾶλλον αὕτη,
καὶ θᾶττον ἂν πρόοιντο πάντες ταύτης ἐκείνην τὴν
975a 1 δόξαν. ὥστ' εἰ καὶ συμβαίνοι ἐναντίας εἶναι τὰς
φάσεις, καὶ ἀδύνατον γίγνεσθαί τε ἐκ μὴ ὄντος καὶ
μὴ πολλὰ εἶναι τὰ πράγματα, ἐλέγχοιτο μὲν ἂν ὑπ'
ἀλλήλων ταῦτα. (13) ἀλλὰ τί μᾶλλον οὕτως ἂν ἔχοι;
ἴσως τε κἂν φαίη τις τούτοις τἀναντία. οὔτε γὰρ
5 δείξας ὅτι ὀρθὴ δόξα, ἀφ' ἧς ἄρχεται, οὔτε μᾶλλον
βέβαιον ἢ περὶ ἧς δείκνυσι λαβών, διελέχθη. μᾶλλον
γὰρ ὑπολαμβάνεται εἰκὸς εἶναι γίγνεσθαι ἐκ μὴ

cu egală îndreptățire, poate că n-are rost nici acceptarea 974b
principiului după care nicicând nu s-ar putea naște ceva
din nimic. Și aceasta nu-i decât o părere din cele neînte-
meiate, luată de bună și generalizată pe baza unor repe- 20
tate mărturii ale simțurilor. (10) Dacă, însă, închipuirile
noastre nu sunt toate înșelătoare, ci se găsesc printre ele
și intuiții juste, trebuie să acceptăm fie pe cele dovedite în
prealabil ca atare, fie pe cele înzestrate cu cea mai mare
evidență; acestea din urmă, de fiecare dată mai sigure 25
decât cele urmând a fi demonstrate pe calea raționamen-
tului. (11) Să considerăm, bunăoară, două păreri potriv-
nice una alteia, cum le socoate Melissos (una că, dacă ființa
e multiplă, trebuie numaidecât să se fi născut din nimic;
alta că, dacă așa ceva e cu neputință, ființa nu poate fi 30
multiplă: pentru că, dacă ceva există și e increat, trebuie
să fie și nemărginit, iar nemărginit fiind trebuie să fie și
unu): chiar de le-am admite deopotrivă pe amândouă, nu
ni se dovedește câtuși de puțin că ființa ar fi unică mai 35
curând decât multiplă. În schimb, dacă una e mai sigură
decât cealaltă, încheierile trase din ea vor fi și ele mai
dovedite. (12) În ce ne privește, se întâmplă să avem
amândouă aceste opinii: și că nimic nu s-ar putea naște
din nimic, și că ființele ar fi multe și înzestrate cu mișcare. 40
Din ele, mai demnă de crezare e aceasta din urmă; orice 1 975a
om va pune dar preț pe ea mai curând decât pe cealaltă[11].
Așa fiind, dacă afirmațiile că «nașterea din nimic e impo-
sibilă» și «imposibilă e și pluralitatea lucrurilor» sunt
într-adevăr contrarii, e evident că una s-ar distruge pe 5
alta. (13) Neputem întreba însă pentru ce ar fi chiar așa?
Și dacă un altul n-ar putea susține contrariul? Doar Me-
lissos își desfășoară argumentarea fără să fi dovedit în
prealabil că principiul de la care pleacă e o părere drept-
tă și fără să-l proclame mai adevărat decât acel în discuție. 10
Iar ipoteza unei nașteri din nimic e îndeobște mai lesne

975a ὄντος ἢ μὴ πολλὰ εἶναι. (14) λέγεταί τε καὶ σφόδρα ὑπὲρ αὐτῶν γίγνεσθαί τε τὰ μὴ ὄντα, καὶ δὴ γεγονέναι πολλὰ ἐκ μὴ ὄντων, καὶ οὐχ ὅτι οἱ τυγχάνον-
10 τες, ἀλλὰ καὶ τῶν δοξάντων τινὲς εἶναι σοφῶν εἰρήκασιν. (15) αὐτίκα δ' Ἡσίοδος 'πάντων μὲν πρῶτον, φησί, Χάος ἐγένετο, αὐτὰρ ἔπειτα Γαῖα εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ ἠδ' Ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισι' [Theog. 116. 117. 120]. τὰ δ' ἄλλα φησὶ γενέσθαι <ἐκ τούτων>, ταῦτα δὲ ἐξ
15 οὐδενός. πολλοὶ δὲ καὶ ἕτεροι εἶναι μὲν οὐδέν φασι,
16 γίγνεσθαι δὲ πάντα, λέγοντες οὐκ ἐξ ὄντων γίγ-
16a νεσθαι τὰ γιγνόμενα. οὐδὲ γὰρ ἂν ἔτι αὐτοῖς ἅπαντα γίγνοιτο. ὥστε τοῦτο μὲν δῆλον, ὅτι ἐνίοις γε δοκεῖ καὶ ἐξ οὐκ ὄντων ἂν γενέσθαι.

c. 2. (1) ἀλλ' ἆρα, εἰ μὲν δυνατά ἐστιν ἢ ἀδύνατα ἃ λέγει, ἐατέον, τὸ δὲ πότερον συμπεραίνεται αὐτὰ
20 ἐξ ὧν λαμβάνει, ἢ οὐδὲν κωλύει καὶ ἄλλως ἔχειν, ἱκανὸν σκέψασθαι; ἕτερον γὰρ ἄν τι τοῦτ' ἴσως ἐκείνου εἴη. (2) καὶ πρώτου τεθέντος, ὃ πρῶτον λαμβάνει, μηδὲν γενέσθαι ἂν ἐκ μὴ ὄντος, ἆρα ἀνάγκη ἀγένητα ἅπαντα εἶναι, ἢ οὐδὲν κωλύει γεγονέναι ἕτερα ἐξ ἑτέρων, καὶ τοῦτο εἰς ἄπειρον ἰέναι; (3) ἢ
25 καὶ ἀνακάμπτειν κύκλωι, ὥστε τὸ ἕτερον ἐκ τοῦ ἑτέρου γεγονέναι, ἀεί τε οὕτως ὄντος τινὸς καὶ ἀπειράκις ἑκάστων γεγενημένων ἐξ ἀλλήλων; (4) ὥστε οὐδὲν ἂν κωλύοι τὸ ἅπαντα γεγονέναι κειμένου τοῦ μηδὲν γενέσθαι ἂν ἐκ μὴ ὄντος, καὶ ἄπειρα ὄντα πρὸς ἐκεῖνον προσαγορεῦσαι οὐδὲν κωλύει τῶν
30 τῶι ἑνὶ ἑπομένων ὀνομάτων. τὸ ἅπαντα γὰρ εἶναι καὶ λέγεσθαι καὶ ἐκεῖνος τῶι ἀπείρωι προσάπτει.

de acceptat decât aceea că ființele nu pot fi multe. (14) De aceea s-a și spus, în această ordine de idei, nu o dată, și că lucruri inexistente au căpătat ființă, și că multe s-ar fi născut din neființă: și nu de către fiecine, ci de oameni cu faimă de înțelepți. (15) «La începutul începuturilor – zice, bunăoară, Hesiod – s-a ivit Haosul; apoi Pământul cel cu pieptul larg, temei sigur și veșnic a tot ce există... și Iubirea, care-i întrece pe toți nemuritorii» [*Theog.*, v. 116, 117, 120]. Despre celelalte, spune că s-ar fi născut din acestea; dar acestea, din nimic. La fel, alții mulți au susținut și ei că nimic nu e, ci totul devine[12], – înțelegând nu o devenire care ar porni de la ființă, căci în acest caz nu s-ar mai putea vorbi nici la ei de o devenire universală. Încât, un lucru e limpede, că pentru unii se poate vorbi și de o devenire din neființă. 975a

c. 2 (1) Să lăsăm însă chestiunea de a ști dacă cele spuse de Melissos sunt posibile sau imposibile. Demnă de luare aminte mi se pare mai curând întrebarea dacă aceste afirmații se desprind din propriile lui premise sau dacă nimic nu oprește ca lucrurile să se înfățișeze și altfel? În care caz, altele ar fi poate încheierile noastre. (2) Înainte de toate, dacă am lua de bună prima lui premisă, – cum că nimic nu s-ar putea naște din neființă, – urmează oare numaidecât că toate câte există sunt increate, sau nimic nu se opune ca lucrurile să se fi născut unele din altele, și asta la nesfârșit? (3) Sau să alcătuiască un soi de cerc, – unul născându-se din altul, – așa fel ca despre oricare să se poată spune că e veșnic și fiecare să se nască din altul de un număr nesfârșit de ori? (4) În felul acesta, nimic nu s-ar opune ca toate lucrurile să se fi născut, chiar admițând că din neființă nimic nu se poate naște; nesfârșite fiind, de altă parte, nimic nu se opune să li se atribuie atributele unității. Căci Melissos însuși recunoaște nesfârșitului calitatea de a fi și de a purta numele de Tot[13]. Chiar

975a οὐδέν τε κωλύει, καὶ μὴ ἀπείρων ὄντων, κύκλωι αὐτῶν εἶναι τὴν γένεσιν. (5) ἔτι εἰ ἅπαντα γίγνεται, ἔστι δὲ οὐδέν, ὥς τινες λέγουσι, πῶς ἂν ἀίδια εἴη; ἀλλὰ γὰρ τοῦ μὲν εἶναί τι ὡς ὄντος καὶ κειμένου διαλέγεται. εἰ γάρ, φησί, μὴ ἐγένετο, ἔστιν δέ, ἀίδιον ἂν εἴη, ὡς δέον ὑπάρχειν τὸ εἶναι τοῖς πράγμασιν. (6) ἔτι εἰ καὶ ὅτι μάλιστα μήτε τὸ μὴ ὂν ἐνδέχεται γενέσθαι μήτε ἀπολέσθαι τὸ [μὴ] ὄν, ὅμως τί κωλύει τὰ μὲν γενόμενα αὐτῶν εἶναι, τὰ δ' ἀίδια, ὡς καὶ Ἐμπεδοκλῆς [fr. 12 Diels] λέγει; ἅπαντα γὰρ
975b 1 κἀκεῖνος ταῦτα ὁμολογήσας, ὅτι ἔκ τε τοῦ μὴ ὄντος ἀμήχανόν ἐστι γενέσθαι, τό τε ὂν ἐξόλλυσθαι ἀνήνυστον καὶ ἄπρηκτον, ἀεὶ γὰρ τῆ γ' ἔσται, ὅπη κέ τις αἰὲν ἐρείδηι', ὅμως τῶν ὄντων τὰ μὲν ἀίδιά φησιν εἶναι, πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, τὰ δ' ἄλλα γίγνεσθαί τε καὶ γεγονέναι ἐκ τούτων. (7) οὐδεμία γὰρ ἑτέρα, ὡς οἴεται, γένεσίς ἐστι τοῖς οὖσιν, „ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων ἐστί· φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν" [fr. 8, 3–4 Diels]. (8) τὴν δὲ γένεσιν οὐ πρὸς οὐσίαν τοῖς ἀιδίοις καὶ τῶι ὄντι γίγνεσθαι λέγει, ἐπεὶ τοῦτό γε ἀδύνατον ὤιετο. πῶς γὰρ ἄν, φησί, καὶ 'ἐπαυξήσειε τὸ πᾶν τί τε καὶ πόθεν ἐλθόν' [fr. 17, 32 Diels]; ἀλλὰ μισγομένων τε καὶ συντιθεμένων πυρὸς καὶ τῶν μετὰ πυρὸς γίγνεσθαι τὰ πολλά, διαλλαττομένων τε καὶ διακρινομένων φθείρεσθαι πάλιν, καὶ εἶναι τῆι μὲν μίξει πολλά ποτε καὶ τῆι διακρίσει, τῆι δὲ φύσει τέτταρα ἄνευ τῶν αἰτίων ἢ ἕν. (9) ἢ εἰ καὶ ἄπειρα εὐθὺς ταῦτα εἴη, ἐξ ὧν συντιθεμένων γίγνεται, διακρινομέ-

de n-ar fi nesfârșite, dealtminteri, nimic nu oprește ca pro- 975a
ducerea lor să se desfășoare în formă circulară. (5) Și
iarăși, dacă totul devine și nimic nu e, cum pretind unii,
cum ar putea fi lucruri veșnice? Nu-i vorbă, despre
existență, Melissos vorbește ca de ceva real și necesar[14]. 50
«Căci, argumentează el, dacă ființa nu s-a născut, ci este,
înseamnă că e veșnică», iar existența face parte din atri-
butele necesare ale lucrurilor (6) Tot astfel, chiar admi-
țând în chipul cel mai deplin, de o parte că neființa nu e
susceptibilă de devenire, de alta că ființa nu e susceptibi- 55
lă de pieire, ce se împotrivește ca, dintre ființe, o parte să
fie născută, iar alta veșnică, așa cum susține Empedocles? 1 975b
[fr. 12 Diels]. Doar și acela, măcar că împărtășind cu totul
această părere, cum că «nașterea din neființă nu e posibi-
lă și zadarnică și deșartă distrugerea ființei, căci mereu
va continua să fie acolo unde a fost statornicită odată», 5
afirmă totuși că, din câte există, unele sunt veșnice, – fo-
cul, apa, pământul și aerul, – iar celelalte s-au născut și se
nasc din acestea. (7) Într-adevăr, crede el, alt chip de
naștere pentru ființe nu există, «ci numai amestec și
schimb de elemente amestecate; «naștere» e numele de 10
care sunt deprinși să se slujească oamenii» [fr. 8, 3–4
Diels]. (8) E adevărat că nici Empedocles nu vorbește de
naștere în legătură cu esența celor veșnice, nici cu ființa,
așa ceva părându-i imposibil. Căci, zice, în ce chip «ar pu-
tea ceva spori Totul și de unde ar putea veni?» [fr. 17, 32 15
Diels]. Ci marele număr al celor ce există se naște prin
amestecul și îmbinarea focului și a elementelor dimpre-
ună cu el (așa cum prin înlocuirea și despărțirea acestora
se distruge), – ceea ce înseamnă că multiplicitatea se
creează prin amestec sau împărțire[15], dar că elementele 20
de felul lor sunt patru, – osebit de cauze, – sau poate unul
singur. (9) Dealtminteri, chiar admițând că ar fi din ca-
pul locului nesfârșite elementele a căror agregare

νων δὲ φθείρεται, ὡς καὶ τὸν Ἀναξαγόραν φασί τινες λέγειν ἐξ ἀεὶ ὄντων καὶ ἀπείρων τὰ γιγνόμενα γίγνεσθαι, κἂν οὕτως οὐκ ἂν εἴη ἀίδια πάντα, ἀλλὰ καὶ γιγνόμενα ἄττα καὶ γενόμενά τ' ἐξ ὄντων καὶ φθειρόμενα εἰς οὐσίας τινὰς ἄλλας. (10) ἔτι οὐδὲν κωλύει μίαν τινὰ οὖσαν τὸ πᾶν μορφήν, ὡς καὶ ὁ Ἀναξίμανδρος καὶ ὁ Ἀναξιμένης λέγουσιν, ὁ μὲν ὕδωρ εἶναι φάμενος τὸ πᾶν, ὁ δέ, ὁ Ἀναξιμένης, ἀέρα, καὶ ὅσοι ἄλλοι οὕτως εἶναι τὸ πᾶν ἓν ἠξιώκασιν, τοῦτο ἤδη σχήμασί τε καὶ πλήθει καὶ ὀλιγότητι, καὶ τῶι μανὸν ἢ πυκνὸν γίγνεσθαι, πολλὰ καὶ ἄπειρα ὄντα τε καὶ γιγνόμενα ἀπεργάζεσθαι, τὸ ὅλον. (11) φησὶ δὲ καὶ ὁ Δημόκριτος τὸ ὕδωρ τε καὶ τὸν ἀέρα ἕκαστόν τε τῶν πολλῶν, ταὐτὸ ὄν, ῥυθμῶι διαφέρειν. (12) τί δὴ κλύει καὶ οὕτως τὰ πολλὰ γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, ἐξ ὄντος ἀεὶ εἰς ὂν μεταβάλλοντος ταῖς εἰρημέναις διαφοραῖς τοῦ ἑνός, καὶ οὐδὲν οὔτε πλέονος οὔτε ἐλάττονος γιγνομένου τοῦ ὅλου; ἔτι τί κωλύει ποτὲ μὲν ἐξ ἄλλων τὰ σώματα γίγνεσθαι καὶ διαλύεσθαι εἰς σώματα, οὕτως δ' ἀεὶ ἀναλυόμενα κατ' ἴσα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι πάλιν; (13) εἰ δὲ καὶ ταῦτά τις συγχωροίη, καὶ εἴη τε καὶ ἀγένητον εἴη, τί μᾶλλον ἄπειρον δείκνυται; ἄπειρον γὰρ εἶναί φησιν, εἰ ἔστι μέν, μὴ γέγονε δέ· πέρατα γὰρ εἶναι τὴν τῆς γενέσεως ἀρχήν τε καὶ τελευτήν. (14) καίτοι τί κωλύει ἀγένητον ὂν ἔχειν πέρας ἐκ τῶν εἰρημένων; εἰ γὰρ ἐγένετο, ἀρχὴν ἔχειν ἀξιοῖ ταύτην ὅθεν ἤρξατο γιγνόμενον. τί δὴ

975b 20 976a 1

prilejuiește procesul nașterii și a căror despărțire pe acel 975b
al distrugerii, – așa cum zic unii că ar fi susținut Anaxago- 25
ras, după care toate cele născute s-ar fi născut din ele-
mente veșnice și nesfârșite, – încă nu urmează că trebuie
să fie toate veșnice, ci, măcar unele, pot fi supuse deveni-
rii și create din elemente dinainte existente, așa cum pot
fi supuse unei distrugeri care le transmută în alte sub- 30
stanțe. (10) Și iarăși nimic nu se opune ca totul să îmbra-
ce o unică formă elementară, cum susțin deopotrivă
Anaximandros[16] și Anaximenes (unul zicând că totul
se reduce la apă, altul – Anaximenes – la aer) și toți ceilalți
care au crezut că unitatea Totului trebuie înțeleasă așa 35
cum am spus și că această unitate, variindu-și aci înfățișă-
rile și numărul și mărimea, aci raritatea și densitatea,
creează multele și nesfârșitele ființe – existente în pre-
zent sau susceptibile de a se naște – ce alcătuiesc Univer-
sul[17]. (11) Democritsustine și el că apa, aerul și fiecare 40
din multele elemente existente – unul și același lucru, în
realitate – se deosebesc între ele structural[18]. (12) Ce se
opune așadar ca, și în această ipoteză, ființe numeroase
să se nască și să piară, printr-un proces etern de strămu-
tare a Unității de la ființă la ființă, potrivit deosebirilor 45
amintite și fără ca totul să devină mai mare sau mai mic?
Și iarăși, ce se opune ca, la un moment dat, corpuri să se fi
născut din alte corpuri și, la rândul lor, să treacă în alte
corpuri, mereu născându-se și mereu pierind, de fiecare
dată descompuse în același număr de elemente? (13) Să 50
zicem însă că am admite și aceste două postulate, că ființa
este și că-i increată: întrucât se face astfel dovada că e și
nemărginită? Doar Melissos asta spune: că-i nemărgini-
tă, dacă este și nenăscută; marginile fiind, după acest fel
de a judeca, începutul nașterii și sfârșitul. (14) Numai cât, 55
din cele spuse, ce oprește ca, deși nenăscută, ființa să aibă
totuși margini? Căci, dacă-i născută, trebuie să aibă, după 1 976a

976a κωλύει, καὶ εἰ μὴ ἐγένετο, ἔχειν ἀρχήν, οὐ μέντοι γε ἐξ ἧς γε ἐγένετο, ἀλλὰ καὶ ἑτέραν, καὶ εἶναι περαίνοντα πρὸς ἄλληλα ἀίδια ὄντα; (15) ἔτι τί κωλύει τὸ μὲν ὅλον ἀγένητον ὂν ἄπειρον εἶναι, τὰ δὲ ἐν αὐτῶι γιγνόμενα πεπεράνθαι, ἔχοντα ἀρχὴν καὶ τελευτὴν γενέσεως; ἔτι καὶ ὡς ὁ Παρμενίδης φησί, τί κωλύει καὶ τὸ πᾶν ἓν ὂν καὶ ἀγένητον ὅμως πεπεράνθαι, καὶ εἶναι "πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκωι, μεσσόθεν ἰσοπαλὲς πάντη· τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον πελέμεν χρεών ἐστι τῆι ἢ τῆι" [Parm. fr. B 8, 43–45]. (16) ἔχον δὲ μέσον καὶ ἔσχατα, πέρας ἔχει ἀγένητον ὄν, ἐπεὶ εἰ καί, ὡς αὐτὸς λέγει, ἕν ἐστι, καὶ τοῦτο σῶμα, ἔχει ἄλλα ἑαυτοῦ μέρη, τὰ δὲ ὅμοια πάντα. (17) καὶ γὰρ ὅμοιον οὕτω λέγει τὸ πᾶν εἶναι οὐχὶ ὡς ἄλλωι τινί (ὅπερ Ἀναξαγόρας ἐλέγχει ὅτι ὅμοιον τὸ ἄπειρον· τὸ γὰρ ὅμοιον ἑτέρωι ὅμοιον, ὥστε δύο ἢ πλείω ὄντα οὐκ ἂν ἓν οὐδὲ ἄπειρον εἶναι), ἀλλ' ἴσως τὸ ὅμοιον πρὸς αὐτὸ λέγει, καί φησιν αὐτὸ ὅμοιον εἶναι πᾶν, ὅτι ὁμοιομερές, ὕδωρ ὂν ἅπαν ἢ γῆι ἢ εἴ τι τοιοῦτον ἄλλο. (18) δῆλος γὰρ οὕτως ἀξιῶν εἶναι ἕν, τῶν δὲ μερῶν ἕκαστον σῶμα ὂν οὐκ ἄπειρόν ἐστι· τὸ γὰρ ὅλον ἄπειρον. ὥστε ταῦτα περαίνει πρὸς ἄλληλα ἀγένητα ὄντα. (19) ἔτι εἰ ἀίδιόν τε καὶ ἄπειρόν ἐστι, πῶς ἂν εἴη ἓν σῶμα ὄν; εἰ μὲν γὰρ <τῶν> ἀνομοιομερῶν εἴη, πολλά, καὶ αὐτὸς οὕτω γ' <ἂν> εἶναι ἀξιοῖ.

părerea lui, un început, pornind de la care a prins a se naște. Ce oprește dar ca, și de nu s-a născut, să aibă totuși un început (nu, de bună seamă, un început al nașterii, ci altul) sau ca, deși veșnice, ființele să-și pună totuși margini una alteia? (15) Așijderi ce se opune ca Totul – pentru că nenăscut – să fie într-adevăr nemărginit, dar ca existențele ivite în sânullui să fie mărginite, având un început și un sfârșit al devenirii? Și iarăși, cum spune Parmenides, ce se opune caînsuși Totul– unu și increat, cum e – să fie totuși mărginit, și anume «pretutindeni asemenea massei unei sfere bine rotunjite, în toate părțile ei deopotrivă cumpănită față de mijloc, căci nu-i îngăduit să fie ici sau colo cu ceva mai mare sau cu ceva mai mică?» [Parm. fr. B 8, 43–45]. (16) Având însă centru și extremități, însemnează că are și margini, – măcar că nenăscut, – de vreme ce, chiar unu fiind, așa cum pretinde el, și constituind un corp, e de presupus că-și are și celelalte părți și că aceste părți suntidentice. (17) Dealtminteri, în acest înțeles vorbește și de identitatea Totului, iar nu în înțelesul că ar fi identic cu altul (așa cum Anaxagoras refuză să admită că nemărginitul ar fi identic; «a fi identic» e, pentru el, «a fi identic cu altul», ceea ce presupune existența a două ființe sau mai multe, nu a uneia, singură și nemărginită); identitatea la care se gândește e, poate, o identitate cu sine, și vorbind de Tot ca de ceva identic vrea să spună că e format din elemente asemănătoare, fie că ar fi vorba de apă, de pământ sau de orice altceva. (18) E limpede că, pentru cine-și face despre unitate o astfel de idee, fiecare din părțile ei reprezintă un corp și ca atare nu poate fi nemărginită: nemărginit eTotul. Încât, deși increate, se poate spune despre ele că se mărginesc una pe alta.

(19) Așijderi, dacă Totul e veșnic și nemărginit, cum ar putea fi unu, câtă vreme-icorp? Presupunând, într-adevăr, că ar fi alcătuită din părți diferite, ființa ar fi plurală, și el

976a

976a εἰ δὲ ἅπαν ὕδωρ ἢ ἅπαν γῆ, ἢ ὅτι δὴ τὸ ὂν τοῦτ'
25 ἐστί, πόλλ' ἂν ἔχοι μέρη (ὡς καὶ Ζήνων ἐπιχειρεῖ ὂν
δεικνύναι τὸ οὕτως ὂν ἕν), εἴη οὖν ἂν καὶ πλείον'
ἄττα αὐτοῦ μέρη, ἐλάττον' ὄντα καὶ μικρότερ' ἄλλα
<ἄλλων, ὥσ>τε πάντη ἂν ταύτη ἀλλοῖον εἴη οὐδενὸς
προσγιγνομένου σώματος οὐδ' ἀπογιγνομένου.
(20) εἰ δὲ μήτε σῶμα μήτε πλάτος μήτε μῆκος ἔχον
30 μηδέν, πῶς ἂν ἄπειρον <τὸ> ἓν εἴη; <ἢ> τί κωλύει
πολλὰ καὶ ἀνάριθμα τοιαῦτα εἶναι; (21) <ἔτι> τί
κωλύει καὶ πλείω ὄντα ἑνὸς μεγέθει ἄπειρα εἶναι;
ὡς καὶ ὁ Ξενοφάνης [fr. A 47] ἄπειρον τό τε βάθος τῆς
γῆς καὶ τοῦ ἀέρος φησὶν εἶναι. δηλοῖ δὲ καὶ ὁ Ἐμπε-
δοκλῆς· ἐπιτιμᾶι γὰρ ὡς λεγόντων τινῶν τοιαῦτα,
ἀδύνατον εἶναι οὕτως ἐχόντων ξυμβαίνειν αὐτά,
35 „εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὡς
διὰ πολλῶν δὴ βροτέων ῥηθέντα ματαίως ἐκκέχυται
15 στομάτων, ὀλίγον τοῦ παντὸς ἰδόντων" [fr. B 39].
(22) ἔτι ἓν ὂν οὐδὲν ἄτοπον, εἰ μὴ πάντη ὅμοιόν
ἐστιν. εἰ γάρ ἐστιν ὕδωρ ἅπαν ἢ πῦρ ἢ ὅτι δὴ ἄλλο
976b 1 τοιοῦτον, οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνὸς
εἴδη, ἰδίαι ἕκαστον ὅμοιον αὐτὸ ἑαυτῶι. (23) καὶ
γὰρ μανόν, τὸ δὲ πυκνὸν εἶναι, μὴ ὄντος ἐν τῶι μανῶι
κενοῦ, οὐδὲν κωλύει. ἐν γὰρ τῶι μανῶι οὐκ ἔστιν
5 ἔν τισι μέρεσι χωρὶς ἀποκεκριμένον τὸ κενόν, ὥστε
τοῦ ὅλου τὸ μὲν πυκνόν, <τὸ δὲ μὴ πυκνὸν> εἶναι
(καὶ τοῦτ' ἤδη ἐστὶ μανόν, τὸ πᾶν οὕτως ἔχον), ἀλλ'
ὁμοίως ἅπαν πλῆρες ὂν ὁμοίως ἧττον πλῆρές ἐστι
τοῦ πυκνοῦ. (24) εἰ δὲ καὶ ἔστιν <καὶ> ἀγένητόν
ἐστι, κἂν διὰ τοῦτο ἄπειρον δοθείη εἶναι καὶ μηδὲ

însuși [Melissos] ar socoti-o astfel. Iar dacă, în întregul ei, 976a
ființa n-ar fi decât apă, pământ sau orice altceva, încă ar
trebui să aibă mai multe părți (cum și Zenon încearcă să
arate că este, ceea ce e unul în felul acesta[19]), unele din
ele mai mari, altele mai puțin mari și mai mici decât alte- 40
le, așa că, fără să se adauge sau să se înlăture vreun corp,
ar rezulta o totală diversitate. (20) Și iarăși, dacă ființa
unică n-are trup, nici lățime, nici lungime de nici un fel,
cum ar putea fi nemărginită? Sau ce se împotrivește ca
ființele să fie multe și nenumărate? (21) Ce se împotri- 45
vește ca, deși mai multe decât una, să fie nesfârșite ca
mărime, în înțelesul în care Xenofanes [fr. A 47, *supra* p. 51]
zice că adâncimea pământului și a aerului e nesfârșită?
Dovadă Empedocles, care, împotriva afirmațiilor de acest
fel ale unora, obiectează că, așa cum pretind ei, <ființa 50
multiplă> nici n-ar putea exista: «dacă adâncurile pămân-
tului sunt fără de margini, și nesfârșit eterul, așa cum se
proclamă în spusele multor muritori[20], ieșite din guri puțin
știutoare despre natura întregului» [fr. B 39 Diels]. (22) Tot
așa, admițând că ființa e una, n-ar fi câtuși de puțin ab- 55
surd, dacă n-ar fi identică în toate părțile ei. Într-adevăr,
presupunând că Totul ar fi apă, sau foc, sau orice altceva 1 976b
de acest fel, nimic nu neoprește să spunem că înfățișările
acestei unice ființe sunt mai multe, iar fiecare din ele – în
ce o privește – e identică cu sine. (23) Doar nimic nu se
opune ca ființa să fie aci mai rară, aci mai deasă, fără ca, 5
în punctele unde e rară, să existe gol. Căci faptul de a fi
rar nu implică existența distinctă, în anumite puncte, a
unui gol, astfel ca întregul să fie într-un loc des iar în altul
nu (ceea ce revine a spune «rar», acestea fiind modurile
de a fi ale Totului[21]: ci, plin fiind în toate părțile lui, e totuși 10
mai puțin plin decât desul. (24) Dacă însă ființa există și
e increată, și dacă, din această pricină, am merge până a
concede că e nemărginită și că o altă ființă, și iar o alta

976b 10 ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο [ἄπειρον] εἶναι, διὰ τί καὶ ἓν τοῦτο ἤδη προσαγορευτέον καὶ ἀκίνητον; *** πῶς γάρ, εἰ τὸ ἄπειρον ὅλον εἴη, τὸ κενὸν μὴ ὅλον ὂν οἷόν τε εἶναι; (25) ἀκίνητον δ' εἶναί φησιν, εἰ κενὸν μὴ ἔστιν· ἅπαντα γὰρ κινεῖσθαι τῶι ἀλλάττειν τόπον. (26) πρῶτον μὲν οὖν τοῦτο πολλοῖς οὐ 15 συνδοκεῖ, ἀλλ' εἶναί τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι, ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῆι γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δέον χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσι· τοιοῦτον δέ τι καὶ τὸ κενὸν οἷον ἀγγεῖόν τι, <οὗ τὸ> ἀνὰ μέσον εἶναι ζητοῦμεν. (27) ἀλλὰ δὴ καὶ εἰ μὴ ἔστι κενὸν μηδέν, 20 <οὐδέν> τι ἧσσον ἂν κινοῖτο. ἐπεὶ καὶ Ἀναξαγόρας τὸ πρὸς αὐτὸ πραγματευθείς, καὶ οὐ μόνον ἀποχρῆσαν αὐτῶι ἀποφήνασθαι ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαί φησι τὰ ὄντα οὐκ ὄντος κενοῦ. (28) ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκρινόμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, <κενὸν> δὲ οὐδὲν εἶναι, λέγων ὡς „τοῦ παντὸς δ(ὲ) οὐδὲν κενεόν· 25 πόθεν οὖν τί κ' ἐπέλθοι;" [fr. B 14] ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῆι, ὥσθ' ἓν εἶναι, 'οὐδέν, φησί, τό γε κενεὸν πέλει οὐδὲ περισσόν' [fr. B 13]. (29) τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι ἅμα ὁτουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον, καὶ εἰς τὸ πρῶτον ἄλλου μεταβάλλοντος ἀεί; (30) τί καὶ τὴν 30 ἐν τῶι αὐτῶι μένοντος τοῦ πράγματος τόπωι τοῦ εἴδους μεταβολήν, ἣν ἀλλοίωσιν οἵ τ' ἄλλοι κἀκεῖνος λέγει, ἐκ τῶν εἰρημένων αὐτῶι κωλύει κινεῖσθαι τὰ πράγματα, ὅταν ἐκ λευκοῦ μέλαν ἢ ἐκ πικροῦ γίγνηται γλυκύ; οὐδὲν γὰρ τὸ μὴ εἶναι κενὸν ἢ μὴ δέχεσθαι τὸ πλῆρες ἀλλοιοῦσθαι κωλύει. (31) ὥστ' 35 οὔθ' ἅπαν οὔτε ἀίδιον [οὔθ' ἓν] οὔτ' ἄπειρον ἀνάγκη εἶναι (ἀλλ' <εἰ ἄρα,> ἄπειρα πολλά), οὔτε ἕν, <οὔ>θ'

n-ar putea exista, pentru ce oare ar trebui să recunoaștem 976b
că e una și nemișcată? **** Într-adevăr, dacă nemărginitul echivalează cu Totul, cum poate exista golul, care nu e Totul? (25) Dar, mai zice Melissos, dacă nu există gol, ființa e nemișcată: căci tot ce se mișcă se mișcă schimbându-și locul. (26) Mai întâi, mulți nu împărtășesc această părere, ci cred că un gol trebuie să existe; nu, de bună seamă, un gol care ar constitui un corp, ci unul ca acel de care vorbește Hesiod, când spune că la începutul facerii a fost Haosul, înțelegând că înainte de orice trebuia să existe un spațiu pentru ființe: ceva în felul acesta e și golul, cum ar fi un vas căruia-i cercetăm cuprinsul. (27) Și de n-ar exista însă golul, nu mai puțin ființa s-ar putea mișca. Într-adevăr, ocupându-se de gol, Anaxagoras nu se mulțumește să afirme că nu există, ci pretinde că, în ciuda inexistenței lui, ființele se mișcă. (28) La fel și Empedocles susține că ființele sunt într-o mișcare veșnică, despărțindu-se într-una tot timpul, dar că gol nu există. Propriile lui cuvinte sunt: «În Tot nu există gol: de unde ar putea dar veni ceva?» [fr. B 14 Diels]. Și, după ce a arătat că Totul se strânge într-o unică înfățișare, alcătuind o unitate: «golul nu-i nimic și nici preaplinul» [fr. B 13 Diels].

(29) Ce se împotrivește, într-adevăr, ca ființele să se miște unele spre altele și totodată ca una să ia locul alteia, aceasta locul alteia, iar alta locul celei dintâi, printr-o deplasare neîntreruptă? (30) Și-apoi, din cele spuse, ce anume ne oprește să atribuim lucrurilor o mișcare constând în acea schimbare de înfățișare ce se săvârșește fără ca lucrul să-și părăsească locul și pe care alții – și el însuși – o numesc «alterare», bunăoară când din alb ceva se face negru, sau din amar dulce? Doar alterarea nu e împiedicată nici de inexistența golului, nici de faptul că nimic nu-și poate face loc în plin. (31) Așadar nu e numaidecât necesar ca ființa să fie toată veșnică, nici ne-

976b ὅμοιον, οὔτ' ἀκίνητον. οὔτ' εἰ ἓν οὔτ' εἰ πόλλ' ἄττα. τούτων δὲ κειμένων καὶ μετακοσμεῖσθαι καὶ ἑτεροιοῦσθαι τὰ ὄντα οὐδὲν ἂν κωλύοι ἐκ τῶν ὑπ' ἐκείνου
977a 1 εἰρημένων, καὶ ἑνὸς ὄντος τοῦ παντὸς κινήσεως οὔσης, καὶ πλήθει καὶ ὀλιγότητι διαφέροντος, καὶ ἀλλοιουμένου οὐδενὸς προσγιγνομένου οὐδ' ἀπογιγνομένου σώματος, καὶ εἰ πολλά, συμμισγομένων καὶ διακρινομένων ἀλλήλοις. (32) τὴν γὰρ μίξιν οὔτ' ἐπιπρόσθησιν τοιαύτην εἶναι οὔτε σύνθεσιν εἰκὸς
5 οἵαν λέγει, ὥστε ἢ χωρὶς εὐθὺς εἶναι, ἢ καὶ ἀποτριφθέντων ὅς' ἐπίπροσθεν ἕτερα ἑτέρων φαίνεσθαι χωρὶς ἀλλήλων ταῦτα, ἀλλ' οὕτως συγκεῖσθαι ταχθέντα ὥστε ὁτιοῦν τοῦ μιγνυμένου παρ' ὁτιοῦν ὧι μίγνυ<ται γίγνε>σθαι μέρος οὕτως, ὥσ<τε> μὴ ἂν ληφθῆναι συγκείμενα, ἀλλὰ μεμιγμένα. μηδ' ὁποσαοῦν αὐτοῦ μέρη. ἐπεὶ γὰρ οὐκ ἔτι σῶμα [τὸ] ἐλάχιστον, ἅπαν
10 ἅπαντι μέρος μέμικται ὁμοίως καὶ τὸ ὅλον.

6. HIPPOCR., De nat. hom., 1 [VI 34 L.] ἀλλ' ἔμοιγε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι αὐτοὶ σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτῶν ὑπὸ ἀσυνεσίης, τὸν δὲ
5 Μελίσσου λόγον ὀρθοῦν. GAL. (referindu-se la textul precedent) CMG V 9, 1, 17, 16 φανερῶς οὖν ἐν τούτωι τῶι λόγωι παντὶ τοῖς ἕν τι μόνον τῶν τεσσάρων στοιχείων ἡγουμένοις εἶναι τὸν ἄνθρωπον ἀντιλέγει καί φησιν αὐτοὺς ἁμαρτάνειν. <οὐχ> ὅτι γὰρ μηδὲν ἀποδεικνύουσιν, <ἀλλ'> ἐσχάτως ἀπίθανος
10 ἦν ὁ λόγος αὐτῶν· ἓν μὲν γάρ τι τῶν τεσσάρων εἶναι τὸν ἄνθρωπον οὐ κατασκευάζουσι, τὸν δὲ Μελίσσου λόγον ὀρθοῦσιν ἡγουμένου μὲν ἓν εἶναι καὶ αὐτοῦ τούτου, οὐ μὴν ἐκ τῶν τεσσάρων γ' ἕν τι τούτων, ἀέρος καὶ γῆς ὕδατός τε καὶ πυρός. ἔοικε δὲ ὁ ἀνὴρ οὗτος ἐννοῆσαι μὲν εἶναί
15 τινα οὐσίαν κοινὴν ὑποβεβλημένην τοῖς τέσσαρσι στοιχε-

mărginită, nici una, nici omogenă, nici nemișcată, – fie că 976b
e vorba de una singură, fie de o pluralitate oarecare. Acestea admise, din câte spune el nimic nu se împotrivește ca 50
ființele să-și schimbe alcătuirea sau să se altereze: în ipo- 1 977a
teza că Totul e unu și că există mișcare, printr-o diferențiere purtând asupra cantității și printr-o alterare ce n-ar comporta adăugarea, nici scăderea vreunui corp; în ipoteza pluralității, prin unirea și despărțirea ființelor între 5
ele. (32) Nu pare, oricum, verosimil ca amestecul să îmbrace forma suprapunerii, nici pe a acelei puneri laolaltă de care vorbește el, în care elementele ar rămâne distincte, ba – prin frecarea celor dinaintea altora de altă natură – ar apărea deosebite între ele[22]; ci <verosimil e> ca 10
așezarea laolaltă a elementelor să fie de așa natură încât orice parte intrată în amestec să se contopească cu orice parte cu care se amestecă, astfel încât să nu poată fi concepută distinctă, ci numai amestecată. Dealtminteri, de vreme ce nu există un «corp minim», fiece parte se îmbi- 15
nă cu fiece parte în același chip cu întregul.

6. HIPPOCR., *De nat. hom.*, 1 [VI 34 L] Părerea mea e că, din lipsă de pricepere, oamenii aceștia se luptă între dânșii în numele tezelor lor și că întăresc teza lui Melissos... GAL. (referindu-se la textul precedent) CMG V 9, 1, 17, 16... e evident că în tot acest pasaj combate pe cei ce gândesc că omul e numai unul din cele patru 5
elemente și le spune că se înșeală: nu întrucât n-ar fi izbutit să dovedească nimic, ci pentru că teza lor era din cale-afară de neconvingătoare. Departe de a fi izbutit să arate că omul e unul din cele patru elemente, întăresc teza lui Melissos care credea și el că acesta e unu, dar nu unul din cele patru elemente: aerul, pă- 10
mântul, apa și focul. Omul acesta pare a fi fost convins că, la baza celor patru elemente, există o substanță comună, necreată și ne-

ίοις, ἀγένητόν τε καὶ ἄφθαρτον, ἣν οἱ μετ' αὐτὸν ὕλην ἐκάλεσαν, οὐ μὴν διηρθρωμένως γε δυνηθῆναι τοῦτο δηλῶσαι. ταύτην δ' οὖν αὐτὴν τὴν οὐσίαν ὀνομάζει τὸ ἓν καὶ τὸ πᾶν.

7. ARISTOT., Metaph., A 5. 589 b 25 οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μ., Παρμενίδης δὲ μᾶλλον βλέπων κτλ. [v. Parm., fr. A 24]. Phys., A 3. 186a 6 ἀμφότεροι γὰρ ἐριστικῶς συλλογίζονται, καὶ Μ. καὶ Παρμενίδης· καὶ γὰρ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσιν αὐτῶν οἱ λόγοι· μᾶλλον δ' ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν, ἀλλ' ἑνὸς ἀτόπου δοθέντος τἆλλα συμβαίνει· τοῦτο δ' οὐθὲν χαλεπόν.

8. — Phys., Δ 6. 213b 12 Μ. μὲν οὖν καὶ δείκνυσιν ὅτι τὸ πᾶν ἀκίνητον ἐκ τούτων· εἰ γὰρ κινήσεται, ἀνάγκη εἶναι, φησί, κενόν, τὸ δὲ κενὸν οὐ τῶν ὄντων. – De gen. et corr., A 8. 325a 2 ἐνίοις γὰρ τῶν ἀρχαίων ἔδοξε τὸ ὂν ἐξ ἀνάγκης ἓν εἶναι καὶ ἀκίνητον· τὸ μὲν γὰρ κενὸν οὐκ ὄν, κινηθῆναι δ' οὐκ ἂν δύνασθαι μὴ ὄντος κενοῦ κεχωρισμένου. οὐδ' αὖ πολλὰ εἶναι μὴ ὄντος τοῦ διείργοντος. τοῦτο δ' οὐδὲν διαφέρειν, εἴ τις οἴεται μὴ συνεχὲς εἶναι τὸ πᾶν ἀλλ' ἅπτεσθαι διηρημένον, τοῦ φάναι πολλὰ καὶ μὴ ἓν εἶναι καὶ κενόν. εἰ μὲν γὰρ πάντῃ διαιρετόν, οὐθὲν εἶναι ἕν, ὥστε οὐδὲ πολλά, ἀλλὰ κενὸν τὸ ὅλον· εἰ δὲ τῇ μέν, τῇ δὲ μή, πεπλασμένωι τινὶ τοῦτ' ἐοικέναι· μέχρι πόσου γὰρ καὶ διὰ τί τὸ μὲν οὕτως ἔχει τοῦ ὅλου καὶ πλῆρές ἐστι, τὸ δὲ διηρημένον; ἔτι δ' ὁμοίως ἀναγκαῖον μὴ εἶναι κίνησιν. ἐκ μὲν οὖν τούτων τῶν λόγων ὑπερβάντες τὴν αἴσθησιν καὶ παριδόντες αὐτὴν ὡς τῶι λόγωι δέον ἀκολουθεῖν, ἓν καὶ ἀκίνητον τὸ πᾶν εἶναί φασι καὶ ἄπειρον ἔνιοι· τὸ γὰρ πέρας περαίνειν ἂν πρὸς τὸ κενόν. [Cf. Parm., fr. A 25].

pieritoare, pe care cei veniți după el au numit-o materie, dar n-a fost în stare s-o dovedească analitic. Și așa, substanța aceasta o numește «Unul și Totul».

7. ARISTOT., *Metaph.*, A 5, 589 b 25 Cum am mai spus-o, aceștia pot fi lăsați la o parte în cercetarea de față: doi dintre ei cu desăvârșire, – Xenofanes și Melissos, – ca fiind prea neciopliți; Parmenides... [v. Parm., fr. A 24, *supra*, p. 93]; *Phys.*, A 3, 186 a 6 Căci amândoi, și Parmenides și Melissos, raționează ca și cum ar vorbi ca să vorbească: pornesc de la premise mincinoase și se opresc la încheieri neîntemeiate. Barim sistemul lui Melissos e și mai nătâng și mai simplu: odată acceptată o absurditate, restul urmează de la sine; se înțelege că așa nu e greu...

8. — *Phys.*, Δ 6, 213 b 12 Melissos mai dovedește și că Totul e nemișcat, cu următoarele argumente: dacă s-ar mișca, zice el, ar trebui să existe neapărat gol; dar golul nu se numără printre ființe. – *De gen. et corr.*, A 8, 325 a 2 Câtorva dintre cei vechi li s-a părut că Ființa trebuie să fie numaidecât una și nemișcată: într-adevăr, gândeau ei, neexistând gol, nu există posibilitate de mișcare, golul neavând ființă de sine stătătoare[23]. Tot așa, nu poate fi <pluralitate de ființe>, câtă vreme nu-i ceva care să le despartă. A crede iarăși că Totul nu e continuu, dar că – deși despărțite – părțile sale se ating, e tot una cu a spune că ființa e plurală, ci nu una și goală. Căci, dacă ființa e divizibilă în toate părțile ei, nimic nu mai e unul, ceea ce înseamnă că nu mai e nici pluralitate și că Totul e gol; iar dacă pe alocuri e divizibilă, pe alocuri nu, ne găsim înaintea unei construcții absurde: căci până la ce punct și pentru care rațiune o parte a Totului ar fi așa, și plină, iar alta împărțită? La fel pretind și că, în chip necesar, nu poate exista mișcare. Cu argumente de felul acesta – trecând peste datele simțurilor și neținând seamă de ele, sub cuvânt că trebuie urmată rațiunea – pretind unii că Totul e unu, nemișcat și nemărginit: ca unul a cărui margine se mărginește cu golul. [Cf. Parm., fr. A 25, *supra*, p. 93].

9. CIC., Ac., II 37, 118 *M. hoc quod esset infinitum et inmutabile et fuisse semper et fore.* AËT., II, 1, 2. I 3, 14 [Theodor., IV 8 D. 285] M. δὲ ὁ Ἰθαγένους ὁ Μιλήσιος (sic) τούτου [Parmenides] μὲν ἑταῖρος ἐγένετο, τὴν δὲ παραδοθεῖσαν διδασκαλίαν ἀκήρατον οὐκ ἐτήρησεν. ἄπειρον γὰρ οὗτος ἔφη τὸν κόσμον ἐκείνων φάντων πεπερασμένον. II 1, 6 (D. 328) Διογένης καὶ M. τὸ μὲν πᾶν ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι. II 4, 11. [cf. Xenofan., fr. A 36, *supra*, p. 46].

10. ARISTOT., Soph. el., 5. 167b 13 οἷον ὁ Μελίσσου λόγος, ὅτι ἄπειρον τὸ ἄπαν, λαβὼν τὸ μὲν ἄπαν ἀγένητον (ἐκ γὰρ μὴ ὄντος οὐδὲν ἂν γενέσθαι), τὸ δὲ γενόμενον ἐξ ἀρχῆς γενέσθαι. εἰ μὴ οὖν γέγονεν, ἀρχὴν οὐκ ἔχειν τὸ πᾶν, ὥστ' ἄπειρον. οὐκ ἀνάγκη δὲ τοῦτο συμβαίνειν· οὐ γὰρ εἰ τὸ γενόμενον ἅπαν ἀρχὴν ἔχει, καὶ εἴ τι ἀρχὴν ἔχει γέγονεν. 6. 168b35 ὡς ἐν τῶι Μελίσσου λόγωι, τὸ αὐτὸ εἶναι λαμβάνει τὸ γεγονέναι καὶ ἀρχὴν ἔχειν, ἢ τὸ ἴσοις γίνεσθαι καὶ ταὐτὸ μέγεθος λαμβάνειν. ὅτι γὰρ τὸ γεγονὸς ἔχει ἀρχήν, καὶ τὸ ἔχον ἀρχὴν γεγονέναι ἀξιοῖ, ὡς ἄμφω ταὐτὰ ὄντα τῶι ἀρχὴν ἔχειν, τό τε γεγονὸς καὶ τὸ πεπερασμένον. Cf. 28, 181 a 27; Phys., A 3, 196 a 10.

11. ARISTOT., Phys., A 2. 185a 32 M. δὲ τὸ ὂν ἄπειρόν φησιν εἶναι. ποσὸν ἄρα τι τὸ ὄν ... ὁ γὰρ τοῦ ἀπείρου λόγος τῶι ποσῶι προσχρῆται, ἀλλ' οὐκ οὐσίαι οὐδὲ τῶι ποιῶι. Cf. Metaph., A 5, 986 b 18 [Xenofan., fr. A 30]; Phys., Γ 6, 207 a 9 [Parm., fr. A 27].

12. EPIPHAN., Adv. haer., III 2, 12 (D. 590) M. ὁ τοῦ Ἰθαγένους Σάμιος τὸ γένος ἓν τὸ πᾶν ἔφη εἶναι, μηδὲν δὲ βέβαιον ὑπάρχειν τῆι φύσει, ἀλλὰ πάντα εἶναι φθαρτὰ ἐν δυνάμει. AËT., I 24, 1 [Parm., fr. A 29].

9. CIC., *Ac.*, II 37, 118 **După Melissos, cee nesfârșite șineschimbat, a fost dintotdeauna și întotdeauna va fi**[24]. AËT., II 1, 2 [V. Xenofan., fr. A 36, *supra* p. 47]. I 3, 14 [Theodor., IV 8; D. 285] **Melissos din Milet (*sic!*), fiul lui Ithagenes, a fost tovarășul acestuia [*al lui Parmenides*], dar n-a păstrat neatinsă învățătura încredințată. După el, lumea e nemărginită, câtă vreme aceia ziceau că e mărginită.** II 1, 6 (D. 328) **Diogenes și Melissos susțin că Totul e nemărginit, dar că lumea are margini.** II 4, 11 urm. [cf. Xenofan., fr. A 36, *supra*, p. 47].

10. ARISTOT., *Soph. el.*, 5, 167 b 13 **Cum ar fi argumentarea lui Melissos, potrivit căreia Totul e nemărginit: postulează că Totul ar fi nenăscut (sub cuvântcă dinneființă nu se poate naște nimic) și că tot ce e născut are un început. Dacă nu-i însă născut, Totul n-are început, deci e nesfârșit. Dar încheierea nu trebuie să fie numaidecât aceasta: din faptul că orice lucru născut are început nu urmează că orice are început trebuie să se fi și născut...**[25]. – 6, 168 b 35 **Ca în argumentarea lui Melissos, pentru care a se naște e tot una cu a avea început, și a fi egal cu a avea aceeași mărime. Unde tot lucrul născut are început, socoate că și tot ce are început s-ar fi născut, ca și cum prin faptul de a avea un început lucrul născut și lucrul mărginit ar fi amândouă tot una.** Cf. 28, 181 a 27; *Phys.*, A 3, 196 a 10.

11. ARISTOT., *Phys.*, A 2, 185 a 32 **Melissos pretinde că ființa e nemărginită. Însemnează că ființa e o cantitate... Într-adevăr, pentru a defini nemărginirea ne slujim de categoria cantității, dar nu de aceea a substanței, nici de a calității.** Cf. *Metaph.*, A 5, 986 b 18 [Xenofan., fr. A 30, *supra*, p. 39]; *Phys.*, Γ 6, 207 a 9 [Parm., fr. A 27, *supra*, p. 95].

12. EPIPHAN., *Adv. haer.*, III 2, 12 (D. 590) **Melissos, fiul lui Ithagenes, de neam samian, zicea că Totul e Unu, că nimic nu e statornic în natură, ci că toate lucrurile sunt virtualmente pieritoare**[26]. AËT., I 24, 1 [Parm., fr. A 29, *supra*, p. 99].

13. AËT., I 7, 27 (D. 303) M. καὶ Ζήνων τὸ ἓν καὶ πᾶν [sc. θεὸν εἶναι], καὶ μόνον ἀίδιον καὶ ἄπειρον τὸ ἕν. OLYMPIODOR., De arte sacra (Coll. des Alchim. grecs Berthelot II) p. 81, 3 Ruelle μίαν τοίνυν ἀκίνητον <καὶ> ἄπειρον ἀρχὴν πάντων τῶν ὄντων ἐδόξαζεν Μέλισσος τὸ θεῖον.

14. PHILODEM., Rhet. fr. inc., 3. 7 (II 196 Sudhaus) ... οὐδὲ κατὰ Παρμενίδην καὶ Μέλισσον ἓν τὸ πᾶν λέγοντας εἶναι καὶ διὰ τὸ τὰς αἰσθήσεις ψευδεῖς εἶναι. ARISTOCLES la EUSEB., P. E., XIV 17, 7 ὁ γέ τοι M. ἐθέλων ἐπιδεικνύναι διότι τῶν φαινομένων καὶ ἐν ὄψει τούτων οὐδὲν εἴη τῶι ὄντι, διὰ τῶν φαινομένων ἀποδείκνυσιν αὐτῶν· φησὶ γοῦν· 'εἰ γὰρ ἔστι γῆ ... μαλακὸν σκληρόν' [v. mai departefr. B 8, 2. 3]. ταῦτα δὲ καὶ ἄλλα πολλὰ τοιαῦτα λέγοντος αὐτοῦ καὶ μάλα εἰκότως ἐπύθετό τις ἄν· 'ἆρ' οὖν ὅτι ὃ νῦν θερμόν ἐστι κἄπειτα τοῦτο γίνεται ψυχρὸν οὐκ αἰσθόμενος ἔγνως;' ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων. ὅπερ γὰρ ἔφην, εὑρεθείη ἂν οὐδὲν ἀλλ' ἢ τὰς αἰσθήσεις ἀναιρῶν καὶ ἐλέγχων διὰ τὸ μάλιστα πιστεύειν αὐταῖς. Cf. AËT., IV 9, 1 [Parm., fr. A 49].

13. AËT., I 7, 27 (D. 303) **Melissos și Zenon [*susțin că Dumnezeu*] Unul și Totul și că veșnic și nemărginit e numai Unul.** OLYMPIODOR., *De arte sacra (Coll. des Alchim. grecs.*, Berthelot II), p. 81, 3 Ruelle. **Melissos gândea că divinitatea e unicul principiu nemișcat și nemărginit al tuturor ființelor.**

14. PHILODEM., *Rhet. fr. incert.*, 3, 7 (II 196 Sudhaus)... **nici cu Parmenides și Melissos, care zic că Totul e unu și că, din această pricină, datele simțurilor sunt mincinoase.** ARISTOCLES la EUSEB., *P. E.*, XIV 17, 7 **Vroind să arate pentru ce, din lucrurile vizibile și din cele ce ne stau sub ochi, nimic nu există cu adevărat, Melissos ia ca dovadă fenomenele înseși; căci iată ce spune: «Într-adevăr...»** [v., mai departe, fr. B 8, 2–3]. **Cuiva care susține lucruri ca acestea și multe altele ca acestea, cu bună dreptate i-ar putea pune cineva întrebarea: «oare nu mulțumită simțurilor știi că lucrul care acum e cald, același lucru, devine mai târziu rece?». Și la fel și pentru celelalte. Într-adevăr, la poziția pe care o apără nu se poate ajunge decât tăgăduind și respingând senzațiile printr-o neîncredere deplină în ele[27].** Cf. AËT., IV 9, 1 [Parm., fr. A 49, *supra*, p. 109].

ΜΕΛΛΙΣΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ Η ΠΕΡΙ ΤΟΥ ΟΝΤΟΣ

1. SIMPL., Phys., 162, 24 καὶ Μ. δὲ τὸ ἀγένητον τοῦ ὄντος ἔδειξε τῶι κοινῶι τούτωι χρησάμενος ἀξιώματι· γράφει δὲ οὕτως· 'ἀεὶ ἦν ὅ τι ἦν καὶ ἀεὶ ἔσται. εἰ γὰρ ἐγένετο, ἀναγκαῖόν ἐστι πρὶν γενέσθαι εἶναι μηδέν· εἰ τοίνυν μηδὲν ἦν, οὐδαμὰ ἂν γένοιτο οὐδὲν ἐκ μηδενός'.

2. — — 29, 22. 109, 20 'ὅτε τοίνυν οὐκ ἐγένετο, ἔστι τε καὶ ἀεὶ ἦν καὶ ἀεὶ ἔσται καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτήν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν ποτε γενόμενον) καὶ τελευτήν (ἐτελεύτησε γὰρ ἄν ποτε γενόμενον)· ὅτε δὲ μήτε ἤρξατο μήτε ἐτελεύτησεν, ἀεί τε ἦν καὶ ἀεὶ ἔσται <καὶ> οὐκ ἔχει ἀρχὴν οὐδὲ τελευτήν· οὐ γὰρ ἀεὶ εἶναι ἀνυστόν, ὅ τι μὴ πᾶν ἔστι'.

3. — — 109, 29 ὅτι δὲ ὥσπερ τὸ 'ποτὲ γενόμενον' [fr. B 2] πεπερασμένον τῆι οὐσίαι φησίν, οὕτω καὶ τὸ 'ἀεὶ ὂν' ἄπειρον λέγει τῆι οὐσίαι, σαφὲς πεποίηκεν εἰπών· 'ἀλλ' ὥσπερ ἔστιν ἀεί, οὕτω καὶ τὸ μέγεθος ἄπειρον ἀεὶ χρὴ εἶναι'. μέγεθος δὲ οὐ τὸ διάστατόν φησι [cf. fr. B 10].

4. — — 110, 2 [în continuarea fr. B 9] καὶ ἐφεξῆς δὲ τῶι ἀιδίωι τὸ ἄπειρον κατὰ τὴν οὐσίαν συνέταξεν εἰπών· 'ἀρχήν τε καὶ τέλος ἔχον οὐδὲν οὔτε ἀίδιον οὔτε

B) FRAGMENTE

DESPRE NATURĂ SAU DESPRE FIINȚĂ

1. SIMPL., *Phys.*, 162, 24 **Melissos a arătat caracterul increat al ființei slujindu-se de această argumentare bine cunoscută; iată, într-adevăr, ce scrie: «Veșnic era, ceea ce era, și veșnic va fi[1]. Căci, de s-ar fi născut, ar trebui ca înainte de a se fi născut să nu fi fost nimic; dacă însă n-ar fi fost nimic, în nici un chip nu s-ar fi putut naște ceva din nimic»[2].**

2. — — 29, 22; 109, 20. **«Devreme ce, așadar, nu s-a născut, este și veșnic era și veșnic va fi[3], și n-are început nici sfârșit, ci e nesfârșit. Căci de s-ar fi născut, ar avea început (născut[4], ar fi trebuit să înceapă odată) și sfârșit (născut, ar fi trebuit să sfârșească odată); de vreme ce, însă, n-a început, nici nu s-a sfârșit, veșnic era și veșnic va fi, și început n-are, nici sfârșit; căci veșnic nu poate fi ce nu e totul»[5].**

3. — — 109, 29 **Așa cum, despre ființa «cândva născută»** [fr. B 2], **afirmă că ar fi de o esență mărginită, la fel și despre cea «veșnic existentă» pretinde că ar fi nemărginită, dovedindu-și astfel spusele: «Ci, după cum e veșnică, la fel și ca mărime trebuie să fie veșnic nesfârșită»[6]. Mărime, pentru el, nu vrea să zică întindere...** [Cf., mai departe, fr. B 10].

4. — — 110, 2 (în continuarea fr. B 9) **În continuare, atributului veșniciei îi adaugă nemărginirea sub raportul substanței, argumentând: «Nimic ce are început și sfârșit nu e veșnic, nici**

ἄπειρόν ἐστιν᾽, ὥστε τὸ μὴ ἔχον ἄπειρόν ἐστιν.

5. — — 110, 5 [în continuarea fr. B 4] ἀπὸ δὲ τοῦ ἀπείρου τὸ ἓν συνελογίσατο ἐκ τοῦ ᾽εἰ μὴ ἓν εἴη, περανεῖ πρὸς ἄλλο᾽. τοῦτο δὲ αἰτιᾶται Εὔδημος [fr. 9 Sp.] ὡς ἀδιορίστως λεγόμενον γράφων οὕτως ᾽εἰ δὲ δὴ συγχωρήσειέ τις ἄπειρον εἶναι τὸ ὄν, διὰ τί καὶ ἕν ἐστιν; οὐ γὰρ δὴ διότι πλείονα, περανεῖ πηι πρὸς ἄλληλα. δοκεῖ γὰρ ὁ παρεληλυθὼς χρόνος ἄπειρος εἶναι περαίνων πρὸς τὸν παρόντα. πάντηι μὲν οὖν ἄπειρα τὰ πλείω τάχα οὐκ ἂν εἴη, ἐπὶ θάτερα δὲ φανεῖται ἐνδέχεσθαι. χρὴ οὖν διορίσαι, πῶς ἄπειρα οὐκ ἂν εἴη, εἰ πλείω᾽.

6. — De caelo, 557, 14 τοῦ γὰρ αἰσθητοῦ ἐναργῶς εἶναι δοκοῦντος, εἰ ἓν τὸ ὄν ἐστιν, οὐκ ἂν εἴη ἄλλο παρὰ τοῦτο. λέγει δὲ M. μὲν ᾽εἰ γὰρ <ἄπειρον> εἴη, ἓν εἴη ἄν· εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ᾽ ἔχοι ἂν πείρατα πρὸς ἄλληλα᾽, Παρμενίδης δὲ ᾽οὖλον ... ἀγένητον᾽ [fr. B 8, 4].

7. — Phys., 111, 18 λέγει δ᾽ οὖν M. οὕτως τὰ πρότερον εἰρημένα συμπεραινόμενος καὶ οὕτως τὰ περὶ τῆς κινήσεως ἐπάγων· (1) ᾽οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον πᾶν. (2) καὶ οὔτ᾽ ἂν ἀπόλοιτο οὔτε μεῖζον γίνοιτο οὔτε μετακοσμέοιτο οὔτε ἀλγεῖ οὔτε ἀνιᾶται· εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἔτι ἓν εἴη. εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι. εἰ τοίνυν τριχὶ μιῆι μυρίοις ἔτεσιν ἑτεροῖον γίνοιτο, ὀλεῖται πᾶν ἐν τῶι παντὶ χρόνωι. (3) ἀλλ᾽ οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κόσμος ὁ πρόσθεν

nesfârșit»[7], – încât, ce n-are, e nesfârșit.

5. — — 110, 5 (în continuarea fr. B 4) Din nesfârșire a făcut să decurgă unicitatea ființei, argumentând: «dacă n-ar fi una, s-ar mărgini cu alta»[8]. Împotriva acestei afirmații, sub cuvânt că n-ar fi limpede formulată, se ridică Eudemos [fr. 9 Sp.] în termenii următori: «Chiar de-ar admite cineva că ființa e nemărginită, pentru ce ar trebui să fie și una? De bună seamă nu pentru că, dac-ar fi mai multe, ființele s-ar mărgini una pe alta. Doar trecutul pare nesfârșit, și totuși se mărginește cu prezentul. N-ar putea fi dar nesfârșite nici ființele din toate părțile; într-o singură parte, pare admisibil. Trebuie dar lămurit, pentru care motiv n-ar putea fi nesfârșite, dac-ar fi mai multe».

6. — *De caelo*, 557, 14 De vreme ce sensibilul apare ca existând în mod manifest, dacă ființa e una, n-ar mai putea exista alta afară de ea. «Căci, – zice Melissos, – dacă ființa e nesfârșită, trebuie să fie una. Altminteri, de-ar fi două, n-ar mai putea fi nemărginite, ci una alteia și-ar pune margini». În schimb, Parmenides zice: «e întreg... nenăscut» [fr. B 8, 4, *supra*, p. 215][9].

7. — *Phys.*, 111, 18 Zice dar Melissos, recapitulându-și afirmațiile anterioare și pregătind astfel trecerea la cele ce are de spus despre mișcare: (1) «Astfel dar ființa e veșnică și nesfârșită și una și aceeași în totul. (2) Și de pierit n-ar putea pieri, nici mai mare nu s-ar putea face, nici alcătuirea nu și-ar putea-o schimba[10], nici nu suferă, nici nu pătimește; căci de-ar păți ceva din toate acestea, n-ar mai fi una. Într-adevăr, de se prefface în altceva[11], urmează neapărat că ființa nu mai e una și aceeași: că piere ceva ce exista înainte și se naște ce nu exista până atunci. Așa fiind, de s-ar preface fie și cu un fir de păr în zece mii de ani, în sumedenia timpului s-ar prăpădi cu totul și cu totul[12]. (3) Dar nici alcătuirea lăuntrică nu-i chip să și-o schimbe: căci alcătuirea dinainte nu piere, nici alta nouă nu se ivește.

ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γίνεται. ὅτε δὲ μήτε προσγίνεται μηδὲν μήτε ἀπόλλυται μήτε ἑτεροιοῦται, πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων εἴη; εἰ μὲν γάρ τι ἐγίνετο ἑτεροῖον, ἤδη ἂν καὶ μετακοσμηθείη. (4) οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον· οὐδὲ ἔχει ἴσην δύναμιν τῶι ὑγιεῖ· οὐδ' ἂν ὁμοῖον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένου, κοὐκ ἂν ἔτι ὁμοῖον εἴη. (5) οὐδ' ἂν τὸ ὑγιὲς ἀλγῆσαι δύναιτο· ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γένοιτο. (6) καὶ περὶ τοῦ ἀνιᾶσθαι ὡυτὸς λόγος τῶι ἀλγέοντι. (7) οὐδὲ κενεόν ἐστιν οὐδέν· τὸ γὰρ κενεὸν οὐδέν ἐστιν· οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐδὲ κινεῖται· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῆι, ἀλλὰ πλέων ἐστίν. εἰ μὲν γὰρ κενεὸν ἦν, ὑπεχώρει ἂν εἰς τὸ κενόν· κενοῦ δὲ μὴ ἐόντος οὐκ ἔχει ὅκηι ὑποχωρήσει. (8) πυκνὸν δὲ καὶ ἀραιὸν οὐκ ἂν εἴη. τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁμοίως τῶι πυκνῶι, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ. (9) κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ πλέω· εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων· εἰ δὲ μήτε χωρεῖ μήτε εἰσδέχεται, πλέων. (10) ἀνάγκη τοίνυν πλέων εἶναι, εἰ κενὸν μὴ ἔστιν. εἰ τοίνυν πλέων ἐστίν, οὐ κινεῖται.

8. — De caelo, 558, 19 [cf. fr. A 14] εἰπὼν γὰρ περὶ τοῦ ὄντος ὅτι ἕν ἐστι καὶ ἀγένητον καὶ ἀκίνητον καὶ μηδενὶ κενῶι διειλημμένον, ἀλλ' ὅλον ἑαυτοῦ πλῆρες, ἐπάγει· (1) 'μέγιστον μὲν οὖν σημεῖον οὗτος ὁ λόγος, ὅτι ἓν μόνον ἔστιν· ἀτὰρ καὶ τάδε σημεῖα. (2) εἰ γὰρ ἦν πολλά, τοιαῦτα χρὴ αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι. εἰ γάρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ σίδηρος καὶ χρυσός, καὶ τὸ μὲν ζῶον τὸ δὲ τεθνηκός, καὶ μέλαν καὶ λευκὸν καὶ τὰ ἄλλα, ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ, εἰ δὴ ταῦτα ἔστι, καὶ ἡμεῖς ὀρθῶς ὁρῶμεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν, καὶ μὴ

Dacă dar nimic nu vine să i se adauge, nici nu piere, nici în altceva nu sepreface, ce fel s-ar mai putea număra printre ființe, după ce și-a schimbat alcătuirea?[13]. Căci, de s-arpreface câtuși de puțin, și alcătuirea lesne și-ar schimba-o. (4) Durere nu suferă[14]; într-adevăr, de-ar suferi, n-armai putea fi Totul[15]. Căci ce suferă nu poate fi veșnic, nici tăria lucrului sănătos n-o are. Și-apoi nici aceeași n-armai fi, dac-ar suferi: căci suferința ar trebui să-i vină de pe urma unui lucru adăugat, ori scăzut, și-atunci n-ar mai fi aceeași. (5) Un lucru sănătos nici n-ar putea dealtminteri suferi: ar însemna, într-adevăr, să piară ce e sănătos și în ființă, și să se ivească ceva fără ființă. (6) Pentru pătimire, dovada e la fel ca pentru cel ce suferă[16]. (7) Apoi nici gol nu există ceva; căci golul e nimic și nimicul n-are cum fi. Nici de mișcat nu se mișcă ființa; într-adevăr n-are unde-și face loc, ci e plină. Dacă exista gol[17], și-ar fi putut face loc în el; de vreme ce, însă, nu există, n-are unde-și face loc[18]. (8) Și iarăși n-ar putea fi deasă, nici rară[19]; doar lucrul rar nu poate fi așa de plin ca lucrul des, ci rarul e mai gol decât desul. (9) Între plin și neplin, pe de altă parte, deosebirea ce trebuie făcută e următoarea: dacă un lucru cuprinde un altul ori îi face loc în el, nu-i plin; dacă nici de cuprins nu cuprinde, nici loc în el nu face, e plin[20]. (10) Dacă, prin urmare, gol nu există, ființa e neapărat plină. Iar dacă e plină, nu se mișcă».

8. — *De caelo*, 558, 19 [cf. fr. A 14] Dupăce a spus despre ființă că e una și nenăscută și nemișcată și neîntreruptă de nici un gol, ci pe de-a întregul plină de sine, continuă: (1) Raționamentul acesta e dovada[21] cea mai de seamă că ființa e una singură[22]; dar dovezi sunt și cele ce urmează. (2) Într-adevăr, chiar multe de-ar fi ființele, ar trebui să fie și acestea așa cum spun că e ființa unică. Căci dacă există pământ, și apă, și aer, și foc, și fier, și aur, și viu, și mort, și negru, și alb[23], și toate câte cred oamenii că există cu adevărat[24]; dacă toate acestea există, iar noi vedem și auzim drept, trebuie ca fiecare să fie așa precum ne-a apărut din capul locului, să nu se schimbe, nici să se prefacă, ci veșnic să rămână

μεταπίπτειν μηδὲ γίνεσθαι ἕτεροῖον, ἀλλὰ ἀεὶ εἶναι ἕκαστον, οἷόν πέρ ἐστιν. νῦν δέ φαμεν ὀρθῶς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι· (3) δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρὸν καὶ τὸ ζῶον ἀποθνήισκειν καὶ ἐκ μὴ ζῶντος γίνεσθαι, καὶ ταῦτα πάντα ἑτεροιοῦσθαι, καὶ ὅ τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὁμοῖον εἶναι, ἀλλ᾽ ὅ τε σίδηρος σκληρὸς ἐὼν τῶι δακτύλωι κατατρίβεσθαι ὁμοῦ ῥέων, καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκεῖ εἶναι πᾶν, ἐξ ὕδατός τε γῆ καὶ λίθος γίνεσθαι· ὥστε συμβαίνει μήτε ὁρᾶν μήτε τὰ ὄντα γινώσκειν. (4) οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογεῖ. φαμένοις γὰρ εἶναι πολλὰ καὶ ἀίδια καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα, πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου. (5) δῆλον τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὁρθῶς δοκεῖ εἶναι· οὐ γὰρ ἂν μετέπιπτεν, εἰ ἀληθῆ ἦν· ἀλλ᾽ ἦν οἷόν περ ἐδόκει ἕκαστον τοιοῦτον. τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρεῖσσον οὐδέν. (6) ἦν δὲ μεταπέσηι, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν. οὕτως οὖν, εἰ πολλὰ εἴη, τοιαῦτα χρὴ εἶναι, οἷόν περ τὸ ἕν.

9. — Phys., 109, 34 [în continuarea fr. B 10] ὅτι γὰρ ἀσώματον εἶναι βούλεται τὸ ὄν [Mel.], ἐδήλωσεν εἰπών· ‘εἰ μὲν οὖν εἴη, δεῖ αὐτὸ ἓν εἶναι· ἓν δ᾽ ἐὸν δεῖ αὐτὸ σῶμα μὴ ἔχειν. εἰ δὲ ἔχοι πάχος, ἔχοι ἂν μόρια, καὶ οὐκέτι ἓν εἴη.

10. — — 109, 32 [în continuarea fr. B 3] μέγεθος δὲ οὐ τὸ διαστατόν φησιν· αὐτὸς γὰρ ἀδιαίρετον τὸ ὂν δείκνυσιν· ‘εἰ γὰρ διήιρηται, φησί, τὸ ἐόν, κινεῖται· κινούμενον δὲ οὐκ ἂν εἴη’. ἀλλὰ μέγεθος τὸ δίαρμα αὐτὸ λέγει τῆς ὑποστάσεως.

cum e. Dar noi pretindem că vedem, auzim și înțelegem drept. (3) Și totuși caldul ni se pare că se face rece și recele cald, și tarele moale și moalele tare, – că însufletitul moare și se naște din neînsufletit: că toate acestea suntsupuse schimbării și că ce-a fostnu-i tot una cu ce este, darcă fierul, cât e el de tare, în atingere cu degetul[25] se roade, și totașa și aurul, și piatra, și tot ce ni se pare vârtos; așijderi că, din apă, se face pământ și piatră[26]: de unde rezultă că nici de văzut nu vedem, nici de cunoscut nu cunoaștem câte există[27]. (4) Toate acestea nu se potrivesc așadar unele cu altele. Într-adevăr, abia apucăm să spunem că ființele sunt de felul lor multe, avându-și înfățișarea și tăria lor statornicită odată pentru totdeauna[28], și ne și pare că toate se prefac și se schimbă din starea în care le-am văzut pe fiecare[29]. (5) E limpede, prin urmare, că nu drept vedeam cele ce vedeam și că nu pe drept ni se pare că ființele ar fi multe; căci, dac-ar fi cu adevărat, nu s-ar preface, ci ar fi fiecare așa cum ne-a apărut. Doar, mai tare decât adevărata existență, nimic nu poate fi. (6) Dacă, pe de altă parte, ceva se preface, ce era se duce și vine la iveală ce nu era. Încât, chiar mai multe de-ar fi ființele, ar trebui să fie așa cum e ființa unică»[30].

9. — *Phys.*, 109, 34 [în continuarea fr. B 10] Că, înjudecata lui [a lui Melissos], ființa e incorporală, o dovedește atunci când zice: «Dacă dar este, trebuie să fie una; dacă e una, trebuie să n-aibă trup. Căci de-ar avea grosime, ar avea și părți, și-atunci n-ar mai fi una»[31].

10. — — 109, 32 [în continuarea fr. B 3] Cândvorbește de mărime, nu înțelege întinderea; căci totel arată ființa ca fiind indivizibilă: «Dacă ființa se împarte, – zice, însemnează că se mișcă[32]; dar, dacă se mișcă, nu mai poate fi». Mărimea e pentru el însăși sublimitatea substanței.

SIMPL., Phys., 103, 13 νῦν δὲ τὸν Μελίσσου λόγον ἴδωμεν, πρὸς ὃν πρότερον ὑπαντᾶι [ARISTOT., Phys., A 3. 186a 4]. τοῖς γὰρ τῶν φυσικῶν ἀξιώμασι χρησάμενος ὁ Μ. περὶ γενέσεως καὶ ἄρχεται τοῦ συγγράμματος οὕτως·

1. ἐι μὲν μηδὲν ἔστι, περὶ τοὐτου τί ἄν λέγοιτο ὡς ὄντος τινός; εἰ δὲ τὶ ἔστιν, ἤτοι γινόμενόν ἐστιν ἢ ἀεὶ ὄν. ἀλλ εἰ γενόμενον, ἤτοι ἐξ ὄντος ἢ ἐξ οὐκ ὄντος· ἀλλ᾽ οὐτε ἐκ μὴ ὄντος οἷον τε γενέσθαι τι (οὔτε ἄλλο μὲν οὐδὲν ὄν, πολλῶι δὲ μᾶλλον τὸ ἁπλῶς ὄν) οὔτε ἐκ τοῦ ὄντος. εἴη γὰρ ἂν οὕτως καὶ οὐ γίνοιτο. οὐκ ἄρα γινόμενόν ἐστι τὸ ὄν· ἀεὶ ὂν ἄρα ἐστίν. οὐδὲ φθαρήσεται τὸ ὄν· οὔτε γὰρ εἰς τὸ μὴ ὂν οἷόν τε τὸ ὂν μεταβάλλειν (συγχωρεῖται γὰρ καὶ τοῦτο ὑπὸ τῶν φυσικῶν) οὔτε εἰς ὄν. μένοι γὰρ ἂν πάλιν οὕτω γε καὶ οὐ φθείροιτο. οὔτε ἄρα γέγονε τὸ ὂν οὔτε φθαρήσεται· ἀεὶ ἄρα ἦν τε καὶ ἔσται. **2.** ἀλλ᾽ ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενομενον ἀρχὴν οὐκ ἔχει· τὸ δὲ ὂν οὐ γέγονεν· οὐκ ἄρ᾽ ἔχει ἀρχήν. ἔτι τὸ φθειρόμενον τελευτὴν ἔχει. εἰ δέ τί ἐστιν ἄφθαρτον, τελευτὴν οὐκ ἔχει. τὸ ὂν ἄρα ἄφταρτον ὂν τελευτὴν οὐκ ἔχει. τὸ δὲ μήτε ἀρχὴν ἔχον μήτε τελευτὴν ἄπειρον τυγχάνει ὄν. ἄπειρον ἄρα τὸ ὄν. **6.** εἰ δὲ ἄπειρον, ἕν. εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ᾽ ἔχοι ἂν πέρατα πρὸς ἄλληλα. ἄπειρον δὲ τὸ ὄν· οὐκ ἄρα πτείω τὰ ὄντα· ἓν ἄρα τὸ ὄν. **7.** (1) ἀλλὰ μὴν εἰ ἕν, καὶ ἀκίνητον· τὸ γὰρ ἓν ὅμοιον ἀεὶ ἑαυτῶι· (2) τὸ δὲ ὅμοιον οὔτ᾽ ἂν ἀπόλοιτο οὔτ ἂν μεῖζον γίνοιτο οὔτε μετακοσμέοιτο οὔτε ἀλγεῖ οὔτε ἀνιᾶται. εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἓν εἴη. τὸ γὰρ ἡντιναοῦν κίνησιν κινούμενον ἔκ τινος καὶ εἰς ἕτερόν τι μεταβάλλει. οὐθὲν δὲ ἦν ἕτερον παρὰ τὸ ὄν· οὐκ ἄρα τοῦτο κινήσεται. (7) καὶ κατ᾽ ἄλλον δὲ τρόπον· οὐδὲν

PARAFRAZA FRAGMENTELOR 1, 2, 6, 7

SIMPL., *Phys.*, 103, 13 Să vedem acum raționamentul lui Melissos, împotriva căruia se ridică mai întâi [Arist., *Phys.*, A 3.186 a 4]. Într-adevăr, făcând uz de argumentele naturaliștilor în jurul nașterii și al pieirii, Melissos își începe tratatul cu următoarele considerații.

1. Dacă nimic nu există, cum s-ar putea vorbi de nimic ca de o existență?[33] Dacă însă există ceva, e sau născut, sau dintotdeauna existent. Dacă-înăscut, e născut sau din ființă, sau din neființă. Dar nici din neființă nu-i chip să se nască ceva (nici vreo altă formă de existență, și cu atât mai mult existența pură și simplă), nici din ființă. Într-adevăr, în cazul acesta ar fi, și nu s-ar naște. Urmează că ființa nu-i născută; e dar dintotdeauna existentă. – De altă parte, nici nu va pieri. Căci ființa nu se poate preface nici în neființă (și acesta e un lucru admis de naturaliști), nici în ființă (în care caz ar continua să existe, și n-ar pieri). În consecință, ființa nici nu s-a născut, nici nu va pieri; dintotdeauna era și întotdeauna va fi. 2. De vreme ce lucrul născut are început, cel nenăscut început n-are. Dar ființa nu s-a născut; n-are deci început. Așijderi lucrul pieritor are sfârșit[34]. Dimpotrivă, când un lucru e nepieritor, sfârșitn-are. Ființa fiind nepieritoare, urmează căn-are sfârșit. Ce n-are început, nici sfârșit, e nemărginit[35]. Ființa e dar nemărginită. 6. Dacă ființa e nemărginită, e una. Într-adevăr, «dac-ar fi două, n-ar mai putea fi nemărginite, ci una pe alta s-ar mărgini». Ființa e nemărginită; nu pot fi dar mai multe; urmează că ființa e una. 7. (1) Dacă însă ființa e una, e și nemișcată; căci ce e unu e veșnic identic cu sine. (2) Ce e identic cu sine «n-ar putea pieri, nici mai mare nu s-ar putea face, nici alcătuirea nu și-arputea-o schimba, nici nu suferă, nici nu pătimește. Căci, de-ar păți ceva din toate acestea, n-ar mai fi unu». Orice mișcare ar suferi un lucru, pe de altă parte, însemnează că se schimbă din ceva în altceva. Dar, afară de ființă, altceva nu există; prin urmare ființa nu se va mișca. (7) Sau într-alt chip: în domeniul ființei,

κενόν ἐστι τοῦ ὄντος· τὸ γὰρ κενόν οὐδέν ἐστιν· οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐ κινεῖται οὖν τὸ ὄν· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῆι κενοῦ μὴ ὄντος. (8) ἀλλ᾽ οὐδὲ εἰς ἑαυτὸ συσταλῆναι δυνατὸν· εἴη γὰρ ἂν οὕτως ἀραιότερον αὐτοῦ καὶ πυκνότερον· τοῦτο δὲ ἀδύνατον. τὸ γὰρ ἀραιὸν ἀδύνατον ὁμοίως πλῆρες εἶναι τῶι πυκνῶι. ἀλλ᾽ ἤδη τὸ ἀραιόν γεκενότερον γίνεται τοῦ πυκνοῦ· τὸ δε κενὸν οὐκ ἔστιν. εἰ δὲ πλῆρές ἐστι τὸ ὄν ἢ μή, κρίνειν χρὴ τῶι εἰσδέχεσθαί τι αὐτὸ ἄλλο ἢ μή· εἰ γὰρ μὴ εἰσδέχεται, πλῆρες. εἰ δὲ εἰσδέχοιτό τι, οὐ πλῆρες. εἰ οὖν μὴ ἔστι κενόν, ἀνάγκη πλῆρες εἶναι· εἰ δὲ τοῦτο, μὴ κινεῖσθαι, οὐχ ὅτι μὴ δυνατὸν διὰ πλήρους κινεῖσθαι, ὡς ἐπὶ τῶν σωμάτων λέγομεν, ἀλλ᾽ ὅτι πᾶν τὸ ὄν οὔτε εἰς ὅα δύναται κινηθῆναι (οὐ γὰρ ἔστι τι παρ᾽ αὐτό) οὔτε εἰς τὸ μὴ ὄν· οὐ γὰρ ἔστι τὸ μὴ ὄν᾽.

ταῦτα μὲν οὖν ἀρκεῖ τῶν Μελίσσου πρὸς τὴν ᾽Αριστοτέλους ἀντίρρησιν· τὰ δὲ λήμματα αὐτοῦ ὡς συνελόντι φάναι τοιαῦτα· ᾽τὸ ὄν οὐ γέγονε· τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει· τὸ μὴ ἔχον ἀρχὴν ἄπειρον· τὸ ἄπειρον μεθ᾽ ἑτέρου δεύτερον οὐκ ἂν εἴη, ἀλλ᾽ ἓν· τὸ δὲ ἓν καὶ ἄπειρον ἀκίνητόν ἐστιν᾽.

11. PALAEPHAT., De incredib., p. 22, 1 Festa ἀεὶ δὲ ἔγωγε ἐπαινῶ τοὺς συγγραφέας Μέλισσον καὶ Λαμίσκον τὸν Σάμιον (filosofpythagoric: v. Diog. Laërt., III 22) ἐν ἀρχῆι λέγοντας· ᾽ἔστιν ἃ ἐγένετο νῦν καὶ <ἀεὶ> ἔσται᾽.

gol nu există; «căci golul e nimic și nimicul n-are cum fi. Așadar ființa nu se mișcă. Căci n-are unde-și face loc», de vreme ce gol nu există. (8) Dar nici să se contracte în sine nu-i e îngăduit. Într-adevăr, în cazul acesta, ar fi mai rară sau mai deasă decât ea însăși, ceea ce-i cu neputință. «Lucrul rar» nu poate fi «la fel» de plin ca «lucrul des». Dimpotrivă, rarul e mai gol decât desul; iar gol nu există. Dacă ființa e plină ori ba, trebuie judecat după aceea că primește sau nu primește altceva în sine: dacă nu primește, e plină; dacă ar primi, n-ar fi plină. Dacă, prin urmare, nu-i goală, urmează că e neapărat plină; de-i așa, nu se mișcă: și nu pentru că n-ar fi cu putință să se miște în plin, cum e cazul mișcării pe care o atribuim corpurilor[36], ci pentru că ființa în întregul ei nu se poate mișca nici în ființă (doar altă ființă decât ea nu există), nici în neființă (unde neființa nu există)».

Cele ce preced sunt deajuns pentru a învedera învățătura lui Melissos față de critica lui Aristotel. Propriile lui afirmații, rezumate, sunt acestea: «Ființa nu s-a născut. Ce e nenăscut n-are început, de vreme ce început are lucrul născut. Ce n-are început e nemărginit. Un lucru nemărginit n-ar putea coexista cu un al doilea, ci e unu. Ce e unu și nemărginit e nemișcat».

FRAGMENTE FALSIFICATE

11. PALAEPHAT., *De incredib.*, p. 22, 1 Festa. Da, e u întotdeauna laud pe scriitorii Melissos și Lamiscos din Samos (filosof pythagoric: v. Diog. Laërt., III 22), care au spus dintru început: «Ceea ce a fost e acum și veșnic va fi»[37]. Cf. fr. B 1.

12. CUGETĂRI DE FILOSOFI GRECO-SIRIENI *despre suflet*, traduse de Ryssel (*Rhein. Mus.*, LI, 1896, p. 539, n. 31): Melissos a spus: tare nu-mi place munca fără folos cu care oamenii se trudesc și se ostenesc: drumuri de noapte și călătorii obositoare, în cursul cărora – alergând printre valurile zbuciumate ale mării, legănați în-

tre moarte și viață – zăbovesc, străini, departe de casele lor, de dragul unui câștig pe care nu știu cine-l va moșteni după moartea lor; și nu umblă să dobândească strălucitele comori ale înțelepciunii, de care nu pot fi nicicând lipsiți, de vreme ce, pe lângă că o lasă moștenire prietenilor lor, o mai iau și cu ei în lumea de dincolo și nu rămâne pierdută. O dovedesc oamenii cu cap, când spun: «a murit înțeleptul cutare sau cutare, dar nu și înțelepciunea lui»[38].

NOTE

XENOFANES

A) VIAȚA ȘI ÎNVĂȚĂTURA

1. În urma cuceririi ei de perși, după plauzibila presupunere a lui H. Frănkel, Xenophanesstudien, *Hermes*, LXXIX, 1925, p. 175.

2. Messina de mai târziu.

3. Întemeietorii erau foceeni veniți din Alalia (Sardinia), de unde îi izgoniseră fenicienii și etruscii.

4. «Falsch auf Xenophanes übertragen, vielleicht von Xenophon, der wie Sokrates an die ionische Diadochie des Archelaos angeknüpft und mit Boton demrhetorischenLehrerdes Theramenes in Verbindunggebracht werden konnte» (Kranz, în aparatul ediției: *Fragm. d. Vors.*, I, p. 113).

5. Ca rapsod ambulant, cum singur lasă să se înțeleagă în fr. B 8 (mai înainte, p. 60). Asupra sensului misiunii astfel asumate vezi frumoasele pagini ale lui Werner Jaeger, *Paideia. Die Formung des griechischen Menschen*, Berlin, 1936, p. 230 urm.

6. Citesc αἰρούσης [αὐτὰ] εἰς τὸ περιέχον cu Heidel și Albertelli.

7. «Dans cette négation, – observă P. Tannery, *Pour l'histoire de la science hellène*, II-e éd., Paris, 1930, p. 125, referindu-se la tăgada respirației Universului, – il est difficile de méconnaître une polémique dirigée contre une doctrine contemporaine. Or, un siècle et demi plus tard, nous rencontrons encore la même négation dans le *Timée* de Platon (33 C), et cette fois nous ne pouvons guère douter qu'elle ne concerne une opinion qu'Aristote (*Phys.*, A 6) attribue nettement aux pythagoriciens. Le rejet formel, par Xénophane, de la respiration attribuée au cosmos, rapproché du témoignage d'Aristote, permet de constater qu'il s'agit là d'une doctrine remontant jusqu'à Pythagore lui même, et, de plus, publiquement professée par lui».

